το: 1799: Μαρτίου: 6: ἡ μέρα κυριακή: ἔγραψα: ἐγὼ ὁ Ἰάσονος [illegible] ἁμαρτωλός δοῦλος τοῦ θεοῦ φώτιος: Μ:

S'a cumpĕrat de la anticar de Î.P.S. Mitropolit Iosif Naniescu cu preț de 150 lei și mi s'a dat mie, înpreună cu Mineele [illegible] de Î.P.S. sa în 1895 Iași.
† Partheniu Dunărei de Jos

2835

† Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν
Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινου-
πόλεως τοῦ Χρυσοστόμου:-

Εὐχὴ τῆς προθέσεως

Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν· ὁ τὸν οὐράνι-
ον ἄρτον τὴν τροφὴν τοῦ παν-
τὸς κόσμου· τὸν Κύριον ἡμῶν καὶ Θεὸν
Ἰησοῦν Χριστὸν ἐξαποστείλας σωτῆρα καὶ λυ-
τρωτὴν καὶ εὐεργέτην· εὐλογοῦν-
τα καὶ ἁγιάζοντα ἡμᾶς αὐτὸς εὐλόγησον
τὴν πρόθεσιν ταύτην· καὶ πρόσδε-
ξαι αὐτήν· εἰς τὸ ὑπερουράνιόν σου θυσι-
αστήριον· μνημόνευσον ὡς ἀγαθὸς

ὁ φιλάνθρωπος. τῶν προσενεγκάντων.
καὶ δι' οὓς προσήγαγον. καὶ ἡμᾶς ἀκα-
τακρίτους διαφύλαξον. ἐν τῇ ἱ-
ερουργίᾳ τῶν θείων σου μυστηρίων.
Ὅτι ἡγίασται καὶ δεδόξασται. τὸ πάντι-
μον καὶ μεγαλοπρεπὲς ὄνομά σου.
τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰ-
ώνων. ὁ διάκονος. εὐλόγησον δέσποτα. ὁ ἱερεύς:
Εὐλογημένη ἡ βασιλεία τοῦ πατρὸς καὶ τοῦ
υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων:
Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν:
Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρί-
ας τῶν ψυχῶν ἡμῶν τοῦ κυρίου δεηθῶμεν:
Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσ-
μου. εὐσταθείας τῶν ἁγίων τοῦ θεοῦ ἐκκλη-
σιῶν. καὶ τῆς τῶν πάντων ἑνώσεως:
Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου. καὶ τῶν μετὰ πίστε-
ως εὐλαβείας καὶ φόβου θεοῦ εἰσιόντων ἐν

αὐτῶ· τοῦ κυρίου δεηθῶμεν:

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν· τοῦ
τιμίου πρεσβυτερίου τῆς ἐν χριστῷ διακονίας
παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ· τοῦ κυρίου:

Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης πάσης πόλεως·
χώρας· καὶ τῶν πίστει οἰκούντων ἐν αὐ-
ταῖς τοῦ κυρίου δεηθῶμεν:

Ὑπὲρ εὐκρασίας ἀέρων εὐφορίας τῶν καρ-
πῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν· τοῦ κυρίου:

Ὑπὲρ πλεόντων· ὁδοιπορούντων· νοσούντων·
καμνόντων· αἰχμαλώτων· καὶ τῆς σω-
τηρίας αὐτῶν· τοῦ κυρίου:

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλί-
ψεως ὀργῆς καὶ ἀνάγκης· τοῦ κυρίου:

Ἀντιλαβοῦ· σῶσον ἐλέησον καὶ διαφύ-
λαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι:

Τῆς παναγίας ἀχράντου ὑπερευλογη-
μένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀει-
παρθένου μαρίας:

Μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες

καὶ αὐτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν
ἡμῶν· Χριστῷ τῷ Θεῷ παραθώμεθα:·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ· καὶ
προσκύνησις· τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ
ἁγίῳ πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων:·

Εὐχὴ ἀντιφώνου· α'

Κύριε ὁ Θεὸς ἡμῶν οὗ τὸ κράτος ἀνείκαστον·
καὶ ἡ δόξα ἀκατάληπτος· οὗ τὸ
ἔλεος ἀμέτρητον· καὶ ἡ φιλανθρωπία
ἄφατος· αὐτὸς δέσποτα
κατὰ τὴν εὐσπλαγχνίαν σου· ἐπίβλεψον
ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον·
καὶ ποίησον μεθ' ἡμῶν καὶ τῶν συνευ-
χομένων ἡμῶν πλούσια τὰ ἐλέη σου
καὶ τοὺς οἰκτιρμούς σου:·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου:
Ἀντιλαβοῦ σῶσον ἐλέησον:
Τῆς παναγίας ἀχράντου:
Μετὰ πάντων τῶν ἁγίων μνημο:

Ὅτι σὸν τὸ κράτος· καὶ σοῦ ἐστιν ἡ βασιλεία·
καὶ ἡ δύναμις· καὶ ἡ δόξα τοῦ πατρὸς καὶ τοῦ
υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς
τοὺς αἰῶνας τῶν αἰώνων:-

Εὐχὴ ἀντιφώνου β´

Κύριε ὁ θεὸς ἡμῶν· σῶσον τὸν λαόν
σου καὶ εὐλόγησον τὴν κληρονο
μίαν σου· τὸ πλήρωμα τῆς ἐκ
κλησίας σου φύλαξον· ἁγίασον τοὺς
ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ
οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον·
τῇ θεϊκῇ σου δυνάμει· καὶ μὴ ἐγκατα
λίπῃς ἡμᾶς· τοὺς ἐλπίζοντας ἐπὶ σοί:-

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου:
Ἀντιλαβοῦ σῶσον ἐλέησον:
Τῆς παναγίας ἀχράντου:
Μετὰ πάντων τῶν ἁγίων:

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρ
χεις· καὶ σοὶ τὴν δόξαν ἀναπέμπο
μεν· τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύ
ματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶ

νας τῶν αἰώνων:-

Εὐχὴ ἀντιφώνου γ´:

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς· ὁ καὶ δυσὶ καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος· αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα· πρὸς τὸ συμφέρον πλήρωσον· χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι· τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας· καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος::

Εὐχὴ τῆς εἰσόδου

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων· καὶ ἀρχαγγέλων· εἰς λειτουργίαν τῆς σῆς δόξης· ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι· συλλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα· ὅτι πρέπει σοι πᾶσα

δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ
τῷ ἁγίῳ πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων:-

εὐχὴ τοῦ τρισαγίου:

Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμε-
νος· ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν
σεραφεὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν
χερουβεὶμ δοξολογούμενος, καὶ ὑπὸ
πάσης ἐπουρανίου δυνάμεως προσκυ-
νούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι
παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας τὸν
ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ παν-
τί σου χαρίσματι κατακοσμήσας· ὁ δι-
δοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν, καὶ
μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέ-
μενος, ἐπὶ σωτηρίαν μετάνοιαν· ὁ καταξι-
ώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξί-
ους δούλους σου καὶ ἐν τῇ ὥρᾳ ταύτῃ, στῆ-
ναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου
θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι
προσκύνησιν καὶ δοξολογίαν προσάγειν·

αὐτὸς δέσποτα πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν, τὸν τρισάγιον ὕμνον. καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. συγχώρησον ἡμῖν, πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον. ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα. καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. πρεσβείαις τῆς ἁγίας θεοτόκου, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων· ὅτι ἅγιος εἶ ὁ θεὸς ἡμῶν. καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων:

εὐχὴ πρὸ τοῦ εὐαγγελίου:

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν φιλάνθρωπε δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς. καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμούς, εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. ἔνθες ἡμῖν καὶ τὸν τῶν

μακαρίων σου ἐντολῶν φόβον· ἵνα πάσας τὰς σαρ-
κικὰς ἐπιθυμίας καταπατήσαντες, πνευ-
ματικὴν πολιτείαν μετέλθωμεν· πάν-
τα πρὸς εὐαρέστησιν σου· φρονοῦν-
τες καὶ πράττοντες· σὺ γὰρ εἶ ὁ φω-
τισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων
ἡμῶν Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέ-
μπομεν· σὺν τῷ ἀνάρχῳ σου Πατρί·
καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ
σου Πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶ-
νας τῶν αἰώνων· *μετὰ δὲ τὸ εὐαγγέ-
λιον· λέγει ὁ διάκονος*

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ
ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν:

Κύριε παντοκράτορ ὁ Θεὸς τῶν πατέρων ἡ-
μῶν δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον:

Ἐλέησον ἡμᾶς ὁ Θεός· κατὰ τὸ μέγα ἔλεός
σου δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον:

*Εὐχὴ τῆς ἐκτενοῦς ἱκεσίας:*

Κύριε ὁ Θεὸς ἡμῶν τὴν ἐκτενῆ ταύ-
την ἱκεσίαν πρόσδεξαι παρὰ τῶν

σῶν δούλων καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆ-
θος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς
σου, κατάπεμψον ἐφ' ἡμᾶς· καὶ ἐπὶ
πάντα τὸν λαόν σου τὸν ἀπεκδεχό-
μενον· τὸ παρὰ σοῦ πλούσιον ἔλεος:

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθο-
δόξων χριστιανῶν:

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου
ἡμῶν ὁ δεῖνος

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοι-
δίμων κτητόρων τῆς ἁγίας μονῆς ταύτης·
καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμέ-
νων πατέρων καὶ ἀδελφῶν ἡμῶν· τῶν ἐν-
θάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων:

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν τῶν ἱ-
ερέων, ἱερομονάχων, καὶ πάσης τῆς ἐν Χριστῷ ἡ-
μῶν ἀδελφότητος:

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων
καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέ-
πτῳ ναῷ τούτῳ· κοπιόντων· ψαλλόν-
των· καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, καὶ

ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ
πλούσιον ἔλεος:

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρ-
χεις· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν
τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι· νῦν καὶ
ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων:

Εὔξασθε οἱ κατηχούμενοι τῷ κυρίῳ:

Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν·
ἵνα ὁ κύριος αὐτοὺς ἐλεήσῃ:

Κατηχήσῃ αὐτοὺς· τὸν λόγον τῆς ἀληθείας:
ἀποκαλύψῃ αὐτοῖς· τὸ εὐαγγέλιον τῆς δικαι-
οσύνης:

Ἑνώσῃ αὐτούς· τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστο-
λικῇ ἐκκλησίᾳ:

Σῶσον ἐλέησον ἀντιλαβοῦ καὶ διαφύλαξον
αὐτοὺς ὁ Θεὸς τῇ σῇ χάριτι:

Οἱ κατηχούμενοι τὰς κεφαλὰς ἡμῶν τῷ κυρίῳ κλί-
νατε: εὐχὴ κατηχουμένων πρὸ τοῦ
ἀπλωθῆναι τὸ εἰλητόν:

Κύριε ὁ Θεὸς ἡμῶν· ὁ ἐν ὑψηλοῖς κα-
τοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν· ὁ

τὴν σωτηρίαν τῶν γενῶν τῶν ἀνθρώπων ἀπο-
στείλας τὸν μονογενῆ σου υἱὸν ὁ θεός· τὸν
κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ἐπίβλεψον ἐπὶ τοὺς δούλους
σου τοὺς κατηχουμένους τοὺς ἀποκεκλικό-
τας σοι τὸν ἑαυτῶν αὐχένα· καὶ καταξί-
ωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς
παλιγγενεσίας· τῆς ἀφέσεως τῶν ἁμαρ-
τιῶν· καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας·
ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀ-
ποστολικῇ ἐκκλησίᾳ· καὶ συγκαταρίθμη-
σον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ:-

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον
καὶ μεγαλοπρεπὲς ὄνομά σου· τοῦ πατρὸς καὶ τοῦ
υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶ-
νας τῶν αἰώνων:-

Ὅσοι κατηχούμενοι προέλθετε· οἱ κατηχού-
μενοι προέλθετε· ὅσοι κατηχούμενοι· προ-
έλθετε· μή τις τῶν κατη-
χουμένων· ὅσοι
πιστοί· ἔτι καὶ ἔτι ἐν
εἰρήνῃ τοῦ κυρίου:-

Εὐχὴ πιστῶν α΄ μετὰ τὸ
ἁπλωθῆναι τὸ εἰλητόν:-

Εὐχαριστοῦμέν σοι Κύριε ὁ Θεὸς τῶν δυ-
νάμεων· τῷ καταξιώσαντι ἡμᾶς
παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστη-
ρίῳ· καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς
σου· ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων·
καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· πρόσδεξαι
ὁ Θεὸς τὴν δέησιν ἡμῶν· ποίησον ἡμᾶς
ἀξίους γενέσθαι· τοῦ προσφέρειν σοι δεή-
σεις καὶ ἱκεσίας· καὶ θυσίας ἀναιμάκτους· ὑπὲρ
παντὸς τοῦ λαοῦ σου· καὶ ἱκάνωσον ἡμᾶς
οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην· ἐν
τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ ἁγίου· ἀκατα-
κρίτως καὶ ἀπροσκόπως ἐν καθαρῷ
τῷ μαρτυρίῳ· τῆς συνειδήσεως ἡμῶν
ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ·
ἵνα εἰσακούων ἡμῶν ἵλεως ἔσῃ ἐν τῷ
πλήθει τῆς σῆς ἀγαθότητος:

Ἀντιλαβοῦ σῶσον: Σοφία:-

Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ προσ

ἐκφώνησις· τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων:-

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ κυρίου:

εὐχὴ πιστῶν· β·

Πάλιν καὶ πολλάκις, σοὶ προσπίπτομεν, καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα, ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καὶ δώῃς ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου· χάρισαι δὲ ὁ θεὸς καὶ τοῖς συνευχομένοις ἡμῖν, προκοπὴν βίου καὶ πίστεως, καὶ συνέσεως, πνευματικῆς· δὸς αὐτοῖς πάντοτε μετὰ φόβου καὶ ἀγάπης λατρεύουσί σοι, ἀνενόχως, καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων, καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι:

Ἀντιλαβοῦ σῶσον  Σοφία

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυ

λαττόμενοι· σοὶ δόξαν ἀναπέμπομεν·
τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι· νῦν καὶ ἀεὶ
καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων:

Εὐχὴν ἣν ποιεῖ ὁ ἱερεὺς καθ' ἑαυτὸν
τοῦ χερουβικοῦ ᾀδομένου:

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς
σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς
προσέρχεσθαι· ἢ λειτουργεῖν σοι βα-
σιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι
μέγα καὶ φοβερόν· καὶ αὐταῖς ταῖς ἐπου-
ρανίοις δυνάμεσιν· ἀλλ' ὅμως διὰ τὴν
ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν·
ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄν-
θρωπος· καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημά-
τισας· καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀ-
ναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδω-
κας ἡμῖν· ὡς δεσπότης τῶν ἁπάντων· σοὶ γὰρ
μόνος κύριε ὁ θεὸς ἡμῶν· δεσπόζεις τῶν
ἐπουρανίων· καὶ τῶν ἐπιγείων· ὁ ἐπὶ θρό-
νου χερουβικοῦ ἐποχούμενος· ὁ τῶν
σεραφὶμ κύριος· καὶ βασιλεὺς τοῦ ἰσραήλ·

ὁ μόνος ἅγιος · καὶ ἐν ἁγίοις ἀναπαυόμενος ·
σὲ τοίνυν δυσωπῶ · τὸν μόνον ἀγα-
θὸν καὶ εὐήκοον · ἐπίβλεψον ἐπ' ἐμὲ τὸν
ἁμαρτωλόν, καὶ ἀχρεῖον δοῦλον σου · καὶ
καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν,
ἀπὸ συνειδήσεως πονηρᾶς · καὶ ἱκάνωσόν με
τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος, ἐνδεδυμέ-
νον τὴν τῆς ἱερατείας χάριν παραστῆναι τῇ
ἁγίᾳ σου ταύτῃ τραπέζῃ καὶ ἱερουργῆσαι τὸ
ἅγιον, καὶ ἄχραντόν σου σῶμα, καὶ τὸ
τίμιον αἷμα · σοὶ γὰρ προσέρχομαι κλί-
νας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου ·
μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ ·
μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου ·
ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ
τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου,
τὰ δῶρα ταῦτα · σὺ γὰρ εἶ ὁ προσφέ-
ρων καὶ προσφερόμενος καὶ προσδεχόμε-
νος, καὶ διαδιδόμενος Χριστὲ ὁ Θεὸς ἡμῶν καὶ σοὶ
τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ
σου πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ

ζωοποιῷ σου πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων:-

Καὶ μετὰ τὸν χερουβικὸν ὕμνον·

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ κυρίῳ·
Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων τοῦ κυρίου·
Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως εὐλαβείας
καὶ φόβου θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ κυρίου·
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς, ἀπὸ πάσης θλίψεως
ὀργῆς κινδύνου καὶ ἀνάγκης τοῦ κυρίου:-

Εὐχὴ προσκομιδῆς μετὰ τὴν ἐν
τῇ ἁγίᾳ τραπέζῃ τῶν θείων
δώρων ἀπόθεσιν:-

Κύριε ὁ θεὸς ὁ παντοκράτωρ· ὁ μόνος ἅγι-
ος· ὁ δεχόμενος θυσίαν αἰνέσεως·
παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ
καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁ-
μαρτωλῶν τὴν δέησιν καὶ προσάγαγε
τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καὶ ἱκάνωσον
ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε καὶ θυσίας πνευ-
ματικάς· ὑπὲρ τῶν ἡμετέρων ἁμαρ-
τημάτων· καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· καὶ

καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου.
τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν
ἡμῶν. καὶ ἐπισκηνῶσαι τὸ πνεῦμα τῆς χάρι
τός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προ
κείμενα δῶρα ταῦτα. καὶ ἐπὶ πάντα τὸν
λαόν σου:-

Ἀντιλαβοῦ σῶσον ἐλέησον καὶ διαφύλαξον
ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι:

Τὴν ἡμέραν πᾶσαν τελείαν ἁγίαν εἰρηνικὴν καὶ ἀναμάρ
τητον. παρὰ τοῦ Κυρίου αἰτησώμεθα:-

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν. φύλακα
τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρά:

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν
πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου:

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ
εἰρήνην τῷ κόσμῳ. παρὰ τοῦ Κυρίου:

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν. ἐν εἰρήνῃ
καὶ μετανοίᾳ ἐκτελέσαι. παρὰ τοῦ Κυρίου:

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν. ἀνώδυνα.
ἀνεπαίσχυντα. εἰρηνικά, καὶ καλὴν ἀπολο
γίαν. τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ

αἰτησώμεθα:-

Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης:

Μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες ἑαυτούς:

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου υἱοῦ μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων:-

Εἰρήνη πᾶσιν:

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν:

Τὰς θύρας τὰς θύρας σοφίᾳ πρόσχωμεν::

Στῶμεν καλῶς· στῶμεν μετὰ φόβου· πρόσχωμεν· τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν::

Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρός, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος· εἴη μετὰ πάντων ἡμῶν::

Ἄνω σχῶμεν τὰς καρδίας:

Εὐχαριστήσωμεν τῷ κυρίῳ::

ὁ ἱερεὺς ἐπεύχεται

Ἄξιον καὶ δίκαιον· σὲ ὑμνεῖν· σὲ εὐλογεῖν· σὲ αἰνεῖν· σοὶ εὐχαριστεῖν· σὲ προσκυνεῖν· ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου· σὺ γὰρ εἶ θεός· ἀνέκφραστος· ἀπερινόητος· ἀόρατος,

ἀκατάληπτος· ἀεὶ ὤν, ὡσαύτως ὤν·
σὺ καὶ ὁ μονογενής σου υἱός· καὶ τὸ πνεῦ-
μα τὸ ἅγιον· σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ
εἶναι ἡμᾶς παρήγαγες· καὶ παραπε-
σόντας ἀνέστησας πάλιν· καὶ οὐκ ἀπέ-
στης πάντα ποιῶν· ἕως ἡμᾶς εἰς
τὸν οὐρανὸν ἀνήγαγες· καὶ τὴν βασιλεί-
αν ἐχαρίσω τὴν μέλλουσαν· ὑπὲρ τούτων
ἁπάντων εὐχαριστοῦμέν σοι· καὶ τῷ μονο-
γενεῖ σου υἱῷ· καὶ τῷ πνεύματί σου τῷ ἁγίῳ· ὑ-
πὲρ πάντων ὧν ἴσμεν· καὶ ὧν οὐκ ἴσμεν·
τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσι-
ῶν· τῶν εἰς ἡμᾶς γεγενημένων· εὐ-
χαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας
ταύτης· ἣν ἐκ τῶν χειρῶν δέξασθαι κατηξίω-
σας· καίτοι σοι παρεστήκασι χιλι-
άδες ἀρχαγγέλων· καὶ μυριάδες ἀγ-
γέλων· τὰ χερουβὶμ καὶ
τὰ σεραφίμ· ἑξα-
πτέρυγα· πολυό-
μματα μετάρσια· πτερωτά·

Τὸν ἐπινίκιον ὕμνον· ᾄδοντα· βοῶντα· κεκραγότα· καὶ λέγοντα:

Ὁ ἱερεὺς ἐπεύχεται:-

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων
δυνάμεων δέσποτα φιλάνθρω-
πε βοῶμεν καὶ λέγομεν· ἅγιος
εἶ καὶ πανάγιος· σὺ καὶ ὁ μονογε-
νής σου υἱός· καὶ τὸ πνεῦμά σου τὸ ἅγιον·
ἅγιος εἶ καὶ πανάγιος· καὶ μεγαλοπρεπὴς
ἡ δόξα σου· ὃς τὸν κόσμον σου· οὕτως
ἠγάπησας· ὥστε τὸν υἱόν σου τὸν μο-
νογενῆ δοῦναι ἵνα πᾶς ὁ πιστεύων εἰς
αὐτὸν· μὴ ἀπόληται· ἀλλ' ἔχῃ ζωὴν
αἰώνιον· ὃς ἐλθὼν καὶ πᾶσαν τὴν ὑ-
πὲρ ἡμῶν οἰκονομίαν πληρώσας· τῇ
νυκτὶ ᾗ παρεδίδοτο· μᾶλλον δὲ ἑαυτὸν
παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς· λα-
βὼν ἄρτον· ἐν ταῖς ἁγίαις αὐτοῦ· καὶ ἀ-
χράντοις· καὶ ἀμωμήτοις χερσίν· εὐ-
χαριστήσας· καὶ εὐλογήσας ἁγιάσας· κλά-
σας· ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς

καὶ ἀποστόλοις εἰπών:

Λάβετε φάγετε· τοῦτό μού ἐστι τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον· εἰς ἄφεσιν ἁμαρτιῶν: ὁ ἱερεὺς μυστικῶς:

Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων:

Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης· τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον· εἰς ἄφεσιν ἁμαρτιῶν:

ὁ ἱερεὺς ἐπιλέγεται:

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων· τοῦ σταυροῦ· τοῦ τάφου· τῆς ἐκ δεξιῶν καθέδρας· τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας:

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν κατὰ πάντα καὶ διὰ πάντα:

ὁ ἱερεὺς ἐπιλέγεται:

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην

την καὶ ἀναίμακτον λατρείαν· καὶ παρα
καλοῦμεν· καὶ δεόμεθα· καὶ ἱκετεύο
μεν· κατάπεμψον τὸ πνεῦμά σου τὸ
ἅγιον ἐφ' ἡμᾶς· καὶ ἐπὶ τὰ προκείμενα
δῶρα ταῦτα:: Εἶτα λέγεται· ὅ τε ἱε
ρεὺς, καὶ ὁ διάκονος· τὸ ὁ θεὸς ἱλάσθητί μοι:

Κύριε ὁ τὸ πανάγιόν σου πνεῦμα·
αρδίαν καθαράν· καὶ ὁ μὲν ἱστάμενος σφρα
γίζει τρίς· τὰ ἅγια δῶρα λέγων·

Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον· τίμιον
σῶμα τοῦ χριστοῦ σου:

Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ· τίμιον αἷμα
τοῦ χριστοῦ σου:-

εταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ:-

ὁ ἱερεὺς ἐπιλέγεται:

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνου
σιν· εἰς νῆψιν ψυχῆς· εἰς ἄφεσιν
ἁμαρτιῶν· εἰς κοινωνίαν τοῦ ἁγί
ου σου πνεύματος· εἰς βασιλείας οὐρανῶν πλή
ρωμα· εἰς παρρησίαν τὴν πρὸς σέ· μὴ
εἰς κρίμα· ἢ εἰς κατάκριμα· Ἔτι προσφέ

ερομέν σοι τὴν λογικὴν ταύτην λατρείαν·
ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων
προπατέρων· πατέρων· πατριαρχῶν·
προφητῶν· ἀποστόλων· κηρύκων· εὐαγγε-
λιστῶν· μαρτύρων· ὁμολογητῶν· ἐγκρατευ-
τῶν· καὶ παντὸς πνεύματος ἐν πίστει
τετελειωμένου:

Ἐξαιρέτως τῆς παναγίας· ἀχράντου· ὑπερ-
ευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν
Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· ὁ διάκονος
τὰ δίπτυχα τῶν κεκοιμημένων·
ὁ δὲ ἱερεὺς ἐπεύχεται:

Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου
προδρόμου καὶ βαπτιστοῦ· τῶν ἁγίων
ἐνδόξων καὶ πανευφήμων ἀπο-
στόλων· τοῦ ἁγίου τοῦδε· οὗ καὶ τὴν
μνήμην ἐπιτελοῦμεν· καὶ πάντων
σου τῶν ἁγίων ὧν ταῖς ἱκεσίαις ἐπί-
σκεψαι ἡμᾶς ὁ Θεός· καὶ μνήσθητι πάντων
τῶν κεκοιμημένων ἐπ' ἐλπίδι ἀναστά-
σεως ζωῆς αἰωνίου· μνήσθητι κ(ύριε)

τὴν ψυχὴν τοῦ δούλου σου ἀρσενίου ἀρχιερέ(ως).
καὶ τῶν γεννητόρων αὐτοῦ ἰωάννου, καὶ
παφμουτῆ μοναχῆς. καὶ ἀνάπαυσον αὐ
τούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσ
ώπου σου. ἔτι παρακαλοῦμέν σε, μνή
σθητι κύριε πάσης ἐπισκοπῆς ὀρθοδόξων.
τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας.
παντὸς τοῦ πρεσβυτερίου τῆς ἐν χριστῷ
διακονίας. καὶ παντὸς ἱερατικοῦ τά
γματος. ἔτι προσφέρομέν σοι τὴν λογι
κὴν ταύτην λατρείαν, ὑπὲρ τῆς οἰκουμέ
νης, ὑπὲρ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς
ἐκκλησίας. ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πο
λιτείᾳ διαγόντων. ὑπὲρ τῶν πιστοτάτων καὶ
φιλοχρίστων ἡμῶν βασιλέων, παντὸς
τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν.
δὸς αὐτοῖς κύριε, εἰρηνικὸν τὸ βασίλειον.
ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν, ἤρεμον
καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐ
σεβείᾳ καὶ σεμνότητι:

Ἐν πρώτοις μνήσθητι κύριε, τοῦ ἀρχιεπισ(κόπου)

σκόπου ἡμῶν ὁ δεῖνος· ὃν χάρισαι ταῖς
ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ· σῶον ἔν-
τιμον· ὑγιᾶ μακροημερεύοντα· ὀρ-
θοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας:

ὁ ἱερεὺς ἐπεύχεται:

Μνήσθητι κύριε τῆς πόλεως ἐν ᾗ παροικοῦ-
μεν, καὶ πάσης πόλεως καὶ χώρας,
καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς·
μνήσθητι κύριε, πλεόντων· ὁδοιπο-
ρούντων· νοσούντων· καμνόντων· αἰχμαλώτων·
καὶ τῆς σωτηρίας αὐτῶν· μνήσθητι κύριε τῶν
καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς
ἁγίαις σου ἐκκλησίαις καὶ μεμνημένων τῶν πε-
νήτων· καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου
ἐξαπόστειλον:-

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ
δοξάζειν καὶ ἀνυμνεῖν· τὸ πάντιμον καὶ με-
γαλοπρεπὲς ὄνομά σου· τοῦ πατρὸς καὶ τοῦ υἱοῦ
καὶ τοῦ ἁγίου πνεύματος· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας·
καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ
Χριστοῦ μετὰ πάντων ὑμῶν:

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου θ(εο)ῦ καὶ σ(ωτῆ)ρ(ο)ς
ἡμῶν Ἰ(ησο)ῦ Χ(ριστο)ῦ, μετὰ πάντων ἡμῶν:

Πάντων τῶν ἁγίων μνημονεύσαντες·
ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κ(υρίο)υ:

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγια-
σθέντων τιμίων δώρων τοῦ κ(υρίο)υ:

Ὅπως ὁ φιλάνθρωπος θ(εὸ)ς ἡμῶν, ὁ
προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον
καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυ-
σιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευμα-
τικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν
χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου πν(εύματο)ς δεηθῶμεν:

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς, ἀπὸ πάσης
θλίψεως ὀργῆς καὶ ἀνάγκης τοῦ κ(υρίο)υ

ὁ ἱερεὺς ἐπεύχεται

Σοὶ παρακατατιθέμεθα τὴν
ζωὴν ἡμῶν ἅπασαν, καὶ τὴν ἐλπί-
δα, δέσποτα φιλάνθρωπε·
καὶ παρακαλοῦμεν, καὶ δεόμεθα,
καὶ ἱκετεύομεν, καταξίωσον ἡμᾶς
μεταλαβεῖν τῶν ἐπουρανίων σου καὶ

φρικτῶν μυστηρίων · ταύτης τῆς ἱερᾶς
καὶ πνευματικῆς τραπέζης · μετὰ
καθαροῦ συνειδότος εἰς ἄφεσιν
ἁμαρτιῶν · εἰς συγχώρησιν πλημμε-
λημάτων · εἰς πνεύματος ἁγίου κοι-
νωνίαν · εἰς βασιλείας οὐρανῶν κλη-
ρονομίαν · εἰς παρρησίαν · πρὸς σέ ·
μὴ εἰς κρῖμα · ἢ εἰς κατάκριμα :-
Ἀντιλαβοῦ σῶσον ἐλέησον :
Τὴν ἡμέραν πᾶσαν τελείαν :
Ἄγγελον εἰρήνης · πιστὸν ὁδηγόν :
Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν :
Τὰ καλὰ καὶ συμφέροντα :
Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς :
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν :
Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν
τοῦ ἁγίου πνεύματος αἰτησάμενοι ἑαυτοὺς καὶ
ἀλλήλους · καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ
τῷ Θεῷ παραθώμεθα :-
Καὶ καταξίωσον ἡμᾶς δέσποτα μετὰ
παρρησίας ἀκατακρίτως τολμᾶν ἐπικαλ

λεῖσθαι σὲ τὸν ἐπουράνιον θεὸν πατέρα καὶ λέγειν·

Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστιν· Εἰρήνη

τὰς κεφαλὰς ἡμῶν· τῷ κυρίῳ·

ὁ ἱερεὺς ἐπεύχεται

Εὐχαριστοῦμέν σοι βασιλεῦ ἀόρατε· ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας· καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγών· αὐτὸς δέσποτα οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι· ἀλλὰ σοὶ τῷ φοβερῷ θεῷ· σὺ οὖν δέσποτα τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον· κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσι σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευσον· τοὺς νοσοῦντας ἴασαι· ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων·

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ· μεθ' οὗ εὐλογητὸς

Εἰ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου
πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰ-
ῶνας τῶν αἰώνων·

Ὁ ἱερεὺς ἐπεύχεται

Πρόσχες κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν ἐξ ἁ-
γίου κατοικητηρίου σου, καὶ ἀπὸ
θρόνου δόξης τῆς βασιλείας σου.
καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς· ὁ ἄνω τῷ
πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν
ἀοράτως συνών· καὶ καταξίωσον τῇ
κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν
τοῦ ἀχράντου σώματός σου, καὶ
τοῦ τιμίου αἵματος, καὶ δι' ἡμῶν παν-
τὶ τῷ λαῷ:- Πρόσχωμεν:
Τὰ ἅγια τοῖς ἁγίοις: Εἶτα τῆς μεταλήψεως
πληρωθείσης· καὶ τῶν ἁγίων λειψάνων ἀπὸ τῆς ἱ-
ερᾶς ἀρθέντων τραπέζης

Ὁ ἱερεὺς ἐπεύχεται

Εὐχαριστοῦμέν σοι δέσποτα φιλάν-
θρωπε· εὐεργέτα τῶν ψυχῶν ἡμῶν·
ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατη-

λίωσας ἡμᾶς τῶν ἐπουρανίων σου· καὶ
ἀθανάτων μυστηρίων· ὀρθοτόμη
σον ἡμῶν τὴν ὁδόν· στήριξον ἡμᾶς
ἐν τῷ φόβῳ σου τοὺς πάντας· φρού
ρησον ἡμῶν τὴν ζωήν· ἀσφάλισαι
ἡμῶν τὰ διαβήματα· εὐχαῖς καὶ
ἱκεσίαις τῆς ἐνδόξου θεοτόκου
καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων
τῶν ἁγίων σου:-

Ὀρθοὶ μεταλαβόντες τῶν θείων ἁγίων ἀχράντων
ἀθανάτων ἐπουρανίων καὶ ζωοποιῶν
φρικτῶν τοῦ Χριστοῦ μυστηρίων· ἀξίως εὐχαριστή
σωμεν τῷ κυρίῳ:

Ἀντιλαβοῦ σῶσον ἐλέησον:-

Τὴν ἡμέραν πᾶσαν τελείαν ἁγίαν εἰρηνι
κήν· καὶ ἀναμάρτητον αἰτησάμενοι ἑ
αυτοὺς καὶ ἀλλήλους· καὶ πᾶσαν τὴν ζωὴν
ἡμῶν Χριστῷ τῷ θεῷ παραθώμεθα:-

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν· καὶ σοὶ τὴν
δόξαν ἀναπέμπομεν τῷ πατρί· καὶ τῷ υἱῷ·
καὶ τῷ ἁγίῳ πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς

τοὺς αἰῶνας τῶν αἰώνων·
Ἐν εἰρήνῃ προέλθωμεν·
Τοῦ Κυρίου δεηθῶμεν·
Εὐχὴ ὀπισθάμβωνος ἐκφω
νουμένη παρὰ τοῦ ἱερέως:–

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε κύ
ριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πε
ποιθότας. σῶσον τὸν λαόν σου, καὶ
εὐλόγησον τὴν κληρονομίαν σου. τὸ
πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον.
ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέ
πειαν τοῦ οἴκου σου. σὺ αὐτοὺς ἀντιδόξασον
τῇ θεϊκῇ σου δυνάμει. καὶ μὴ ἐγκατα
λίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.
εἰρήνην τῷ κόσμῳ σου δώρησαι. ταῖς
ἐκκλησίαις σου. τοῖς ἱερεῦσι. τοῖς βα
σιλεῦσιν ἡμῶν. τῷ στρατῷ. καὶ παν
τὶ τῷ λαῷ σου. ὅτι πᾶσα δόσις ἀ
γαθὴ καὶ πᾶν δώρημα τέλειον. ἄνωθέν
ἐστι καταβαῖνον ἐκ σοῦ τοῦ πατρὸς τῶν
φώτων. καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν,

καὶ προσκύνησιν· δόξαν ἀναπέμπομεν·
τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ
Πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων:-

ἀλλ(ο) ἦχ(ος) τῶ σου γ' λαϊκὰ ἅγια:-

Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν
προφητῶν αὐτὸς ὑπάρ
χεις Χριστὲ ὁ Θεὸς ἡμῶν· ὁ πλη
ρώσας πᾶσαν
πατρικὴν οἰ
κονομίαν
πλήρω
σον χα
ρᾶς
καὶ εὐφροσύνης τὰς
καρδίας ἡμῶν· πάν
τοτε· νῦν καὶ ἀεὶ
καὶ εἰς τοὺς
αἰῶνας τῶν
αἰώνων
Ἀ μήν:-

+ Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις
πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπι-
σκόπου Καισαρείας Καππαδοκίας· οὐ-
ρανοφάντορος τοῦ
μεγάλου::

Εὐχὴ τῆς προθέσεως:-

Ὁ θεὸς ὁ θεὸς ἡμῶν ὁ τὸν οὐράνι-
ον ἄρτον τὴν τροφὴν τοῦ παν-
τὸς κόσμου, τὸν κύριον ἡμῶν· καὶ θεὸν
Ἰησοῦν Χριστόν· ἐξαποστείλας σωτῆρα· λυτρω-
τὴν καὶ εὐεργέτην· εὐλογοῦντα καὶ ἁγιά-
ζοντα ἡμᾶς· αὐτὸς εὐλόγησον τὴν
πρόθεσιν ταύτην· καὶ πρόσδεξαι
αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιασ-

τήριον, μνήμονα σου ὡς ἀγαθὸς. καὶ φι
λάνθρωπος. τῶν προσενεγκάντων. καὶ
δι' οὓς προσήγαγον. καὶ ἡμᾶς ἀκατακρίτους
διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων
σου μυστηρίων. ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλο
πρεπὲς ὄνομά σου· τοῦ πατρὸς καὶ τοῦ
υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων. Εἶτα ὁ διάκονος.
Εὐλόγησον δέσποτα. καὶ ὁ ἱερεύς:
Εὐλογημένη ἡ βασιλεία τοῦ πατρὸς καὶ τοῦ
υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. νῦν καὶ ἀεὶ καὶ εἰς
τοὺς αἰῶνας τῶν αἰώνων: ὁ διάκονος.
Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν:
Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας
τῶν ψυχῶν ἡμῶν τοῦ κυρίου δεηθῶμεν:
Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐ
σταθείας τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, καὶ τῆς τῶν
πάντων ἑνώσεως τοῦ κυρίου:
Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως εὐ
λαβείας, καὶ φόβου θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ κυρίου:
Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν ὁ δῆμος.

τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς
τοῦ κλήρου καὶ λαοῦ τοῦ κυρίου:
Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης, πάσης πόλεως, καὶ χώρας,
καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς:-
Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν
τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν τοῦ κυρίου:
Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων,
καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν τοῦ κυρίου:
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀρ-
γῆς, καὶ ἀνάγκης, τοῦ κυρίου:
Ἀντιλαβοῦ σῶσον ἐλέησον καὶ διαφύλαξον:
Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης:
Μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες:
Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσ-
κύνησις τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι,
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων:-

Εὐχὴ ἀντιφώνου α΄

Κύριε ὁ θεὸς ἡμῶν, οὗ τὸ κράτος
ἀνείκαστον, καὶ ἡ δόξα ἀκατάλη-
πτος, οὗ τὸ ἔλεος ἀμέτρητον, καὶ
ἡ φιλανθρωπία ἄφατος, αὐτὸς δέσποτα

κατὰ τὴν μεγάλην ἀγαθότητά σου ἐπίβλεψον ἐφ' ἡ-
μᾶς, καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον. Καὶ
ποίησον μεθ' ἡμῶν καὶ τῶν συνευχομένων
ἡμῶν πλούσια τὰ ἐλέη σου· καὶ τοὺς οἰ-
κτιρμούς σου:-

Ἔτι καὶ ὑπὲρ εἰρήνης τοῦ κ(όσμο)υ:

Ἀντιλαβοῦ σῶσον ἐλέησον:

Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης:

Μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες ἑαυτούς:-

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστὶν ἡ βασιλεία
καὶ ἡ δύναμις καὶ ἡ δόξα· τοῦ πατρὸς· καὶ τοῦ υἱοῦ·
καὶ τοῦ ἁγίου πνεύματος· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας:

εὐχὴ ἀντιφώνου: β:

Κύριε ὁ θεὸς ἡμῶν σῶσον τὸν λαόν σου.
καὶ εὐλόγησον τὴν κληρονομίαν
σου· τὸ πλήρωμα τῆς ἐκκλησίας
σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶν-
τας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ
αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου
δυνάμει· καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς
τοὺς ἐλπίζοντας ἐπὶ σέ:-

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου:
ἀντιλαβοῦ, σῶσον, ἐλέησον:
Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης:-
Ἑαυτοὺς τῶν ἁγίων μνημονεύσαντες:
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν
δόξαν ἀναπέμπομεν τῷ πατρὶ, καὶ τῷ υἱῷ.
καὶ τῷ ἁγίῳ πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας:-
εὐχὴ ἀντιφώνου γ΄:
Ὁ τὰς κοινὰς ταύτας, καὶ συμφώ
νους ἡμῖν χαρισάμενος προσευ
χάς· ὁ καὶ δυσὶ καὶ τρισὶ συμφωνοῦ
σιν ἐπὶ τῷ ὀνόματί σου· τὰς αἰτή
σεις παρέχειν ἐπαγγειλάμενος· αὐτὸς
καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς
τὸ συμφέρον πλήρωσον· χορηγῶν ἡμῖν
ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς
σῆς ἀληθείας· καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰ
ώνιον χαριζόμενος:-
εὐχὴ τῆς εἰσόδου τοῦ εὐαγγελίου
Δέσποτα κύριε ὁ Θεὸς ἡμῶν· ὁ κα
ταστήσας ἐν οὐρανοῖς τάγματα

ὁ στρατιὰς ἀγγέλων· καὶ ἀρχαγγέλων· εἰς λει-
τουργίαν τῆς σῆς δόξης· ποίησον σὺν
τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων
γενέσθαι· συλλειτουργούντων ἡμῖν·
καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότη-
τα· ὅτι πρέπει σοι πᾶσα δόξα
τιμὴ καὶ προσκύνησις· τῷ πατρὶ·
καὶ τῷ υἱῷ· καὶ τῷ ἁγίῳ πνεύματι:

Εὐχὴ τοῦ τρισαγίου:-

Θεὸς ὁ ἅγιος· ὁ ἐν ἁγίοις ἀναπαυ-
όμενος· ὁ τρισαγίῳ φωνῇ ὑ-
πὸ τῶν σεραφεὶμ ἀνυμνούμενος·
καὶ ὑπὸ τῶν χερουβὶμ δοξολογούμε-
νος· καὶ ὑπὸ πάσης ἐπουρανίου δυ-
νάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ
μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ
σύμπαντα· ὁ κτίσας τὸν ἄνθρωπον·
κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν· καὶ
παντί σου χαρίσματι κατακοσμή-
σας· ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ
σύνεσιν· καὶ μὴ παρορῶν ἁμαρτάνοντα

ται· ἀλλὰ θέμενος ἐπὶ σωτηρίαν μετάνοιαν·
ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς
καὶ ἀναξίους δούλους σου καὶ ἐν τῇ ὥρᾳ
ταύτῃ· στῆναι κατενώπιον τῆς
δόξης τοῦ ἁγίου σου θυσιαστηρίου· καὶ
τὴν ὀφειλομένην σοι προσκύνησιν
καὶ δοξολογίαν προσάγειν· αὐτὸς δέσποτα
πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν
τῶν ἁμαρτωλῶν· τὸν τρισάγιον ὕ-
μνον· καὶ ἐπίσκεψαι ἡμᾶς· ἐν τῇ χρη-
στότητί σου· συγχώρησον ἡμῖν· πᾶν
πλημμέλημα ἑκούσιόν τε· καὶ ἀκούσι-
ον· ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ
σώματα· καὶ δὸς ἡμῖν ἐν ὁσιότητι
λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζω-
ῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου·
καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐ-
αρεστησάντων· ὅτι ἅγιος εἶ ὁ Θεὸς
ἡμῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπο-
μεν· τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι· νῦν
καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας:-

Εὐχὴ πρὸ τοῦ εὐαγγελίου·

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡ-
μῶν, φιλάνθρωπε δέσποτα, τὸ
τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς
καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀ-
φθαλμούς. εἰς τὴν τῶν εὐαγγελικῶν σου
κηρυγμάτων κατανόησιν. ἔνθες
ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν
φόβον. ἵνα τὰς σαρκικὰς ἐπιθυμίας
καταπατήσαντες. πνευματικὴν
πολιτείαν μετέλθωμεν. πάντα τὰ πρὸς
εὐαρέστησιν σου. φρονοῦντές τε καὶ πράτ-
τοντες. σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν
ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν Χριστὲ ὁ Θεός.
καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν
τῷ ἀνάρχῳ σου Πατρί. καὶ τῷ παναγίῳ
καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι. νῦν καὶ
ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων·

Μετὰ δὲ τὸ εὐαγγέλιον·

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς
καὶ ἐξ ὅλης τῆς διανοίας εἴπωμεν·

Κύριε παντοκράτορ ὁ Θεὸς τῶν πατέρων ἡμῶν
δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον:
Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλε-
ός σου δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον:

ἀρχὴ τῆς ἐκτενοῦς ἱκεσίας:

Κύριε ὁ Θεὸς ἡμῶν· τὴν ἐκτενῆ ταύτην
ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν
δούλων· καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆ-
θος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου·
κατάπεμψον ἐφ' ἡμᾶς· καὶ ἐπὶ πάντα
τὸν λαόν σου τὸν ἀπεκδεχόμενον· τὸ πα-
ρὰ σοῦ πλούσιον ἔλεος:
Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδό-
ξων χριστιανῶν: ὁ δεῖ(να)
Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου
ἡμῶν ὁ δεῖνος:
Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν
ἱερέων, ἱερομονάχων, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν
ἀδελφότητος
Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων
κτιτόρων τῆς ἁγίας μονῆς ταύτης, καὶ ὑπὲρ πάν-

τῶν προαναπαυσαμένων πατέρων καὶ
ἀδελφῶν ἡμῶν τῶν ἐνθάδε κειμένων
καὶ ἀπανταχοῦ ὀρθοδόξων:

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων
καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ να-
ῷ τούτῳ· κοπιώντων· ψαλλόντων· καὶ ὑπὲρ
τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου
τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος::

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις,
καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ
καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι· νῦν καὶ ἀεὶ καὶ
εἰς τοὺς αἰῶνας τῶν αἰώνων:

Εὔξασθε οἱ κατηχούμενοι τῷ κυρίῳ:-

Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεη-
θῶμεν· ἵνα ὁ κύριος αὐτοὺς ἐλεήσῃ:-

Κατηχήσῃ αὐτούς, τὸν λόγον τῆς ἀληθείας:

Ἀποκαλύψῃ αὐτοῖς, τὸ εὐαγγέλιον τῆς δι-
καιοσύνης:

Ἑνώσῃ αὐτούς, τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ
ἀποστολικῇ ἐκκλησίᾳ:

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλα

ξον αὐτούς· ὁ Θεὸς τῇ σῇ χάριτι:
Οἱ κατηχούμενοι τὰς κεφαλὰς ἡμῶν τῷ
κυρίῳ κλίνατε:

Εὐχὴ κατηχουμένων πρὸ τοῦ ἁπλω-
θῆναι τὸ εἰλητόν

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν οὐρανοῖς κα-
τοικῶν, καὶ ἐπιβλέπων ἐπὶ πάντα
τὰ ἔργα σου· ἐπίβλεψον ἐπὶ
τοὺς δούλους σου τοὺς κατηχουμένους·
τοὺς κεκλικότας τοὺς ἑαυτῶν αὐχένας ἐ-
νώπιόν σου· καὶ δὸς αὐτοῖς τὸν ἐλαφρὸν
ζυγόν· ποίησον αὐτοὺς μέλη τίμια
τῆς ἁγίας σου ἐκκλησίας· καὶ καταξίωσον
αὐτοὺς τοῦ λουτροῦ τῆς παλιγγενεσίας·
τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ
ἐνδύματος τῆς ἀφθαρσίας· εἰς ἐπί-
γνωσιν σοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν:

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσί σοι τὸ
πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά
σου· τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· νῦν
καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων:

Ὅσοι κατηχούμενοι, προέλθετε· οἱ κατηχούμενοι, προέλθετε· ὅσοι κατηχούμενοι, προέλθετε, μή τις τῶν κατηχουμένων· ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ·

Εὐχὴ πιστῶν α΄ μετὰ τὸ ἁπλωθῆναι τὸ εἰλητόν:

Σὺ κύριε κατέδειξας ἡμῖν, τὸ μέγα τοῦτο τῆς σωτηρίας μυστήριον· σὺ κατηξίωσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου· γενέσθαι λειτουργοὺς τοῦ ἁγίου σου θυσιαστηρίου· σὺ ἱκάνωσον ἡμᾶς τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος, εἰς τὴν διακονίαν ταύτην, ἵνα ἀκατακρίτως στάντες ἐνώπιον τῆς ἁγίας δόξης σου, προσάγωμέν σοι θυσίαν αἰνέσεως· σὺ γὰρ εἶ ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι· δὸς κύριε, καὶ ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, δεκτὴν γενέσθαι τὴν θυσίαν ἡμῶν, καὶ

πρόσδεκτον ἐνώπιόν σου:-
Ἀντιλαβοῦ, σῶσον· Σοφία·
ὅτι πρέπει σοὶ πᾶσα δόξα, τιμὴ καὶ
προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ
τῷ ἁγίῳ Πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων:· Ἔτι καὶ ἔτι
εὐχὴ πιστῶν· β·
Θεὸς ὁ ἐπισκεψάμενος ἐν ἐλέ-
ει καὶ οἰκτιρμοῖς τὴν ταπείνω-
σιν ἡμῶν· ὁ στήσας ἡμᾶς τοὺς ταπει-
νοὺς καὶ ἁμαρτωλοὺς καὶ ἀναξί-
ους δούλους σου, κατενώπιον τῆς
ἁγίας δόξης σου, λειτουργεῖν τῷ ἁγίῳ
σου θυσιαστηρίῳ· σὺ ἐνίσχυσον ἡ-
μᾶς τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύμα-
τος, εἰς τὴν διακονίαν ταύτην· καὶ δὸς
ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡ-
μῶν, εἰς τὸ ἐπικαλεῖσθαι
τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος·
ἐπὶ τὰ μέλλοντα προτί-
θεσθαι δῶρα:-

ἀντιλαβοῦ σῶσον. Σοφία.

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν. τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων:

Εὐχὴ ἣν ποιεῖ ὁ ἱερεὺς καθ' αὑτὸν τοῦ χερουβικοῦ ᾀδομένου:-

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι· ἢ προσεγγίζειν· ἢ λειτουργεῖν σοι βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι, μέγα καὶ φοβερόν· καὶ αὐταῖς ταῖς ἐπουρανίοις δυνάμεσιν· ἀλλ' ὅμως διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος. καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν· ὡς δεσπότης τῶν ἁπάντων.

σοὶ γὰρ μόνος κύριε ὁ θεὸς ἡμῶν· δεσπό
ζεις τῶν ἐπουρανίων· καὶ τῶν ἐπιγείων·
ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος·
ὁ τῶν σεραφὶμ κύριος· καὶ βασιλεὺς τοῦ
ἰσραήλ· ὁ μόνος ἅγιος· καὶ ἐν ἁγίοις
ἀναπαυόμενος· σὲ τοίνυν δυσω
πῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον·
ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν
καὶ ἀχρεῖον δοῦλόν σου· καὶ καθάρισόν
μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ
συνειδήσεως πονηρᾶς· καὶ ἱκάνωσόν με
τῇ δυνάμει τοῦ ἁγίου σου πνεύμα
τος, ἐνδεδυμένον τὴν τῆς ἱερα
τείας χάριν· παραστῆναι τῇ ἁγίᾳ σου
ταύτῃ τραπέζῃ· καὶ ἱερουργῆσαι
τὸ ἅγιον καὶ ἄχραντόν σου σῶμα καὶ
τὸ τίμιον αἷμά σου· σοὶ γὰρ προσέρχο
μαι κλίνας τὸν ἐμαυτοῦ αὐχένα· καὶ
δέομαί σου· μὴ ἀποστρέψῃς τὸ πρό
σωπόν σου ἀπ' ἐμοῦ· μηδὲ ἀποδο
κιμάσῃς με ἐκ παίδων σου· ἀλλὰ ἀξί

ωσον προσενεχθῆναι σοι ὑπ' ἐμοῦ
τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου
σου· τὰ δῶρα ταῦτα· σὺ γὰρ εἶ ὁ
προσφέρων καὶ προσφερόμενος καὶ
προσδεχόμενος Χριστὲ ὁ Θεὸς ἡμῶν· καὶ
σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν
τῷ ἀνάρχῳ σου Πατρί· καὶ τῷ παναγί-
ῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύ-
ματι νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων ἀμήν: εἶτα, μετὰ τὴν μεγάλην εἴσοδον:

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ:
Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων τοῦ Κυρίου:
Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως Θεοῦ:
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς

Εὐχὴ προσκομιδῆς μετὰ τὴν ἐν τῇ
ἁγίᾳ τραπέζῃ τῶν θείων δώρων ἀπόθεσιν:

Κύριε ὁ Θεὸς ἡμῶν ὁ κτίσας ἡμᾶς, καὶ ἀ-
γαγὼν εἰς τὴν ζωὴν ταύτην· ὁ ὑ-
ποδείξας ἡμῖν ὁδοὺς εἰς σωτη-
ρίαν· ὁ χαρισάμενος ἡμῖν οὐρα-
νίων μυστηρίων ἀποκάλυψιν· σὺ εἶ

ὁ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν
ταύτην· ἐν τῇ δυνάμει τοῦ πνεύ
ματός σου τοῦ ἁγίου· εὐδόκησον
δή κύριε τοῦ γενέσθαι ἡμᾶς διακόνους
τῆς καινῆς σου διαθήκης· λειτουρ
γοὺς τῶν ἁγίων σου μυστηρίων· πρόσδεξαι
ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου
θυσιαστηρίῳ· κατὰ τὸ πλῆθος τοῦ
ἐλέους σου· ἵνα γενώμεθα ἄξιοι τοῦ
προσφέρειν σοι τὴν λογικὴν ταύ
την καὶ ἀναίμακτον θυσίαν ὑπὲρ τῶν
ἡμετέρων ἁμαρτημάτων· καὶ τῶν
τοῦ λαοῦ ἀγνοημάτων· ἣν προσδεξά
μενος εἰς τὸ ἅγιον· καὶ νοερόν σου θυσι
αστήριον· εἰς ὀσμὴν εὐωδίας· ἀντι
κατάπεμψον ἡμῖν τὴν χάριν τοῦ ἁγίου
σου πνεύματος· ἐπίβλεψον ἐφ' ἡμᾶς ὁ θεός·
καὶ ἔπιδε ἐπὶ τὴν λατρείαν ἡμῶν ταύ
την· καὶ πρόσδεξαι αὐτήν· ὡς προ
σεδέξω ἄβελ τὰ δῶρα· νῶε τὰς
θυσίας· ἀβραὰμ τὰς ὁλοκαρπώ

σεις, Μωσέως, καὶ Ἀαρὼν τὰς ἱερω
σύνας· Σαμουὴλ τὰς εἰρηνικάς· ὡς
προσεδέξω ἐκ τῶν ἁγίων σου, ἀπο
στόλων τὴν ἀληθινὴν, ταύτην λα
τρείαν· οὕτως καὶ ἐκ τῶν χειρῶν ἡμῶν
τῶν ἁμαρτωλῶν πρόσδεξαι τὰ
δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου
κύριε, ἵνα καταξιωθέντες λειτουργεῖν
ἀμέμπτως τῷ ἁγίῳ σου θυσιαστηρί
ῳ, εὕρωμεν τὸν μισθὸν τῶν πι
στῶν καὶ φρονίμων οἰκονόμων, ἐν τῇ ἡ
μέρᾳ τῇ φοβερᾷ τῆς ἀνταποδό
σεώς σου τῆς δικαίας:

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον:

Τὴν ἡμέραν πᾶσαν τελείαν ἁγίαν:

Ἄγγελον εἰρήνης πιστὸν, ὁδηγόν:

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν:

Τὰ καλὰ, καὶ συμφέροντα ταῖς ψυχαῖς:-

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς:-

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν:-

Τῆς παναγίας ἀχράντου ὑπερευλογη:-

Μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες ἑαυτούς·

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου υἱοῦ,
μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ
καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου πνεύματι· νῦν καὶ
ἀεὶ· καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων·

Εἰρήνη πᾶσιν·

Ἀγαπήσωμεν ἀλλήλους ἵνα ἐν ὁμονοίᾳ ὁμο-
λογήσωμεν·

Τὰς θύρας τὰς θύρας ἐν σοφίᾳ πρόσχωμεν·

Στῶμεν καλῶς· στῶμεν μετὰ φόβου· πρόσχω-
μεν τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν·

Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ
πατρός· καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος· εἴη μετὰ πάντων ὑμῶν·

Ἄνω σχῶμεν τὰς καρδίας·

Εὐχαριστήσωμεν τῷ κυρίῳ·

Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται·

Ὁ ὢν δέσποτα κύριε θεὲ πάτερ παν-
τοκράτορ προσκυνητέ· ἄξιον
ὡς ἀληθῶς καὶ δίκαιον καὶ πρέπον
τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου·
σὲ αἰνεῖν· σὲ προσκυνεῖν· σὲ εὐλογεῖν·

σὲ ὑμνεῖν· σοὶ εὐχαριστεῖν· σὲ δοξάζειν·
τὸν μόνον ὄντως θεόν· καὶ σοὶ προσφέ-
ρειν ἐν καρδίᾳ συντετριμμένῃ· καὶ πνεύ-
ματι ταπεινώσεως· τὴν λογικὴν ταύ-
την λατρείαν ἡμῶν· ὅτι σὺ εἶ ὁ χαρι-
σάμενος ἡμῖν τὴν ἐπίγνωσιν τῆς σῆς
ἀληθείας· καὶ τίς ἱκανὸς λαλῆσαι τὰς
δυναστείας σου· ἀκουστὰς ποιῆσαι
πάσας τὰς αἰνέσεις σου· ἢ διηγήσα-
σθαι πάντα τὰ θαυμάσιά σου ἐν
παντὶ καιρῷ· δέσποτα τῶν ἁπάντων·
κύριε οὐρανοῦ καὶ γῆς καὶ πάσης κτίσεως·
ὁρωμένης τε· καὶ οὐχ ὁρωμένης· ὁ κα-
θήμενος ἐπὶ θρόνου δόξης· καὶ ἐπιβλέπων
ἀβύσσους· ἄναρχε· ἀόρατε· ἀκα-
τάληπτε· ἀπερίγραπτε· ἀναλλοίω-
τε· ὁ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· τοῦ
μεγάλου θεοῦ καὶ σωτῆρος τῆς ἐλπίδος ἡμῶν·
ὅς ἐστιν εἰκὼν· τῆς σῆς ἀγαθότητος·
σφραγὶς ἰσότυπος ἐν ἑαυτῷ δεικνὺς· σὲ
τὸν πατέρα· λόγος ζῶν· θεὸς ἀληθινός·

ἡ πρὸ αἰώνων σοφία· ζωή· ἁγιασμός·
δύναμις· τὸ φῶς τὸ ἀληθινόν· πα
ρ' οὗ τὸ πνεῦμα τὸ ἅγιον ἐξεφάνη· τὸ τῆς
ἀληθείας πνεῦμα· τὸ τῆς υἱοθεσίας χάρισ
μα· ὁ ἀρραβὼν τῆς μελλούσης κληρο
νομίας· ἡ ἀπαρχὴ τῶν αἰωνίων ἀγαθῶν·
ἡ ζωοποιὸς δύναμις· ἡ πηγὴ τοῦ ἁ
γιασμοῦ· παρ' οὗ πᾶσα κτίσις λογι
κή τε καὶ νοερὰ δυναμουμένη σοὶ λα
τρεύει· καὶ σοὶ τὴν ἀΐδιον ἀναπέμ
πει δοξολογίαν· ὅτι τὰ σύμπαντα
δοῦλα σά· σὲ γὰρ αἰνοῦσιν ἄγγελοι·
ἀρχάγγελοι· θρόνοι· κυριότητες· ἀρ
χαὶ δυνάμεις· καὶ τὰ πολυόμματα
χερουβίμ· σοὶ παρίστανται κύκλῳ τὰ
σεραφίμ· ἓξ πτέρυγες τῷ ἑνί· καὶ
ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ
κατακαλύπτουσι τὰ πρόσωπα ἑαυ
τῶν· ταῖς δὲ δυσὶ τοὺς πόδας· καὶ ταῖς
δυσὶ πετόμενα· κέκραγεν· ἕτερον
πρὸς τὸ ἕτερον ἀκαταπαύστοις στόμασι

σιν· ἀσιγήτοις δοξολογίαις:-

Τὸν ἐπινίκιον ὕμνον· ᾄδοντα, βοῶντα, κεκραγότα, καὶ λέγοντα:

Ὁ ἱερεὺς ἐπεύχεται:

Μετὰ τούτων τῶν μακαρίων δυνάμεων, δέσποτα φιλάνθρωπε, καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ βοῶμεν καὶ λέγομεν· ἅγιος εἶ ὡς ἀληθῶς καὶ πανάγιος· καὶ οὐκ ἔστιν μέτρον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου· καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις σου· ὅτι ἐν δικαιοσύνῃ καὶ κρίσει ἀληθινῇ· πάντα ἐπήγαγες ἡμῖν· πλάσας γὰρ τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς· καὶ εἰκόνι τῇ σῇ ὁ Θεὸς τιμήσας, τέθεικας αὐτὸν ἐν παραδείσῳ τῆς τρυφῆς· ἀθανασίαν ζωῆς καὶ ἀπόλαυσιν αἰωνίων ἀγαθῶν ἐν τῇ τηρήσει τῶν ἐντολῶν σου ἐπαγγειλάμενος αὐτῷ· ἀλλὰ παρακούσαντα σοῦ τοῦ ἀληθινοῦ Θεοῦ, τοῦ κτίσαντος αὐτόν· καὶ τῇ ἀπάτῃ τοῦ ὄφεως

ἀπατηθέντα· μικρωθέντα τοῖς
ἰδίοις αὐτοῦ παραπτώμασιν·
ἐξώρισας αὐτὸν ἐν τῇ δικαιοκρισίᾳ
σου ὁ Θεὸς ἐκ τοῦ παραδείσου· εἰς τὸν
κόσμον τοῦτον· καὶ ἀπέστρεψας εἰς
τὴν γῆν ἐξ ἧς ἐλήφθη οἰκονομῶν αὐ-
τῷ τὴν ἐκ παλιγγενεσίας σωτηρίαν·
τὴν ἐν αὐτῷ τῷ Χριστῷ σου· οὐ γὰρ ἀπε-
στράφης τὸ πλάσμα σου εἰς τέλος·
ὃ ἐποίησας ἀγαθέ· οὐδὲ ἐπελάθου
ἔργου χειρῶν σου· ἀλλ' ἐπεσκέψω
πολυτρόπως διὰ σπλάγχνα ἐλέους
σου· προφήτας ἐξαπέστειλας·
ἐποίησας δυνάμεις διὰ τῶν ἁγίων σου·
τῶν καθ' ἑκάστην γενεὰν εὐαρεστησάν-
των σοι· ἐλάλησας ἡμῖν· διὰ στόμα-
τος τῶν δούλων σου τῶν προφητῶν·
προκαταγγέλλων ἡμῖν τὴν μέλλου-
σαν ἔσεσθαι σωτηρίαν· νόμον ἔδωκας
εἰς βοήθειαν· ἀγγέλους ἐπέστησας
φύλακας· ὅτε δὲ ἦλθε τὸ πλήρωμα

τῶμ καιρῶμ· ἐλάλησας ἡμῖν ἐν υἱῷ

τῷ υἱῷ σου· δι' οὗ καὶ τοὺς αἰῶνας

ἐποίησας· ὃς ὢν ἀπαύγασμα τῆς

δόξης σου καὶ χαρακτὴρ τῆς ὑποστάσεώς

σου· φέρων τε τὰ πάντα τῷ ῥήμα-

τι τῆς δυνάμεως αὐτοῦ· οὐχ ἁρ-

παγμὸν ἡγήσατο τὸ εἶναι ἴσα σοὶ

τῷ Θεῷ καὶ πατρί· ἀλλὰ Θεὸς ὢν προ-

αιώνιος ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς

ἀνθρώποις συνανεστράφη· καὶ ἐκ παρ-

θένου ἁγίας σαρκωθείς· ἐκένωσεν ἑ-

αυτὸμ μορφὴν δούλου λαβὼμ· σύ-

μμορφος γενόμενος τῷ σώμα-

τι τῆς ταπεινώσεως ἡμῶμ· ἵνα ἡ-

μᾶς συμμόρφους ποιήσῃ τῆς δόξης

αὐτοῦ· ἐπειδὴ γὰρ δι' ἀνθρώπου ἡ ἁ-

μαρτία εἰσῆλθεν εἰς τὸν κόσμον,

καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος· εὐδό-

κησεν ὁ μονογενής σου υἱός· ὁ ὢμ

ἐν τοῖς κόλποις σοῦ τοῦ Θεοῦ καὶ πατρός·

γενόμενος ἐκ γυναικὸς τῆς ἁγίας Θεοτόκου

ἀειπαρθένου μαρίας· γενόμενος ὑ
πὸ νόμον· κατέκρινε τὴν ἁμαρτίαν
ἐν τῇ σαρκὶ αὐτοῦ· ἵνα οἱ ἐν τῷ ἀδὰμ
ἀποθνήσκοντες· ζωοποιηθῶσιν
ἐν αὐτῷ τῷ χριστῷ σου· καὶ ἐμπολι
τευσάμενος τῷ κόσμῳ τούτῳ· δοὺς
προστάγματα σωτηρίας· ἀποστήσας
τῆς πλάνης τῶν εἰδώλων· προσήγα
γεν ἡμᾶς τῇ ἐπιγνώσει σοῦ τοῦ ἀλη
θινοῦ θεοῦ καὶ πατρὸς ἡμῶν· κτησάμε
νος ἡμᾶς ἑαυτῷ λαὸν περιούσιον·
βασίλειον ἱεράτευμα· ἔθνος ἅγι
ον· καθαρίσας ἡμᾶς ἐν ὕδατι· καὶ
ἁγιάσας τῷ πνεύματι τῷ ἁγίῳ· ἔδωκεν ἑ
αυτὸν· ἀντάλλαγμα τῷ θανάτῳ· ἐν
ᾧ κατειχόμεθα πεπραμένοι ὑπὸ
τῆς ἁμαρτίας· καὶ κατελθὼν διὰ
τοῦ σταυροῦ εἰς τὸν ᾅδην· ἵνα πληρώ
σῃ ἑαυτῷ τὰ πάντα· ἔλυσε τὰς ὀ
δύνας τοῦ θανάτου· καὶ ἀναστὰς
τῇ τρίτῃ ἡμέρᾳ· καὶ ὁδοποιήσας

πάσῃ

πάσῃ σαρκί, τὴν ἐκ νεκρῶν ἀνάστα-
σιν· καθότι οὐκ ἦν δυνατὸν κρα-
τεῖσθαι ὑπὸ τῆς φθορᾶς τὸν ἀρχηγὸν
τῆς ζωῆς· γέγονεν ἀπαρχὴ τῶν κεκοι-
μημένων, πρωτότοκος ἐκ τῶν
νεκρῶν· ἵνα ᾖ ὁ αὐτὸς τὰ πάντα
ἐν πᾶσι πρωτεύων· ἀνελθὼν
εἰς τοὺς οὐρανούς, ἐκάθισεν ἐν δε-
ξιᾷ τῆς μεγαλωσύνης σου ἐν ὑψηλοῖς·
ὃς καὶ ἥξει ἀποδοῦναι ἑκάστῳ κα-
τὰ τὰ ἔργα αὐτοῦ· κατέλιπε δὲ
ἡμῖν ὑπομνήματα τοῦ σωτηρίου αὐτοῦ
πάθους· ταῦτα ἃ προτεθείκαμεν ἐνώ-
πιόν σου· κατὰ τὰς αὐτοῦ ἐν-
τολάς· μέλλων γὰρ ἐξιέναι ἐπὶ τὸν
ἑκούσιον· καὶ ἀοίδιμον· καὶ ζωο-
ποιὸν αὐτοῦ θάνατον τῇ νυκτὶ ᾗ πα-
ρεδίδου ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου
ζωῆς· λαβὼν ἄρτον ἐπὶ τῶν ἁγίων
αὐτοῦ καὶ ἀχράντων χειρῶν· καὶ ἀναδεί-
ξας σοὶ τῷ Θεῷ καὶ πατρί· εὐχαριστήσας,

εὐλογήσας, ἁγιάσας, κλάσας·
Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀπο-
στόλοις εἰπών· λάβετε φάγετε· τοῦτό
μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώ-
μενον εἰς ἄφεσιν ἁμαρτιῶν·
Ὁμοίως καὶ τὸ ποτήριον ἐκ τοῦ γεννή-
ματος τῆς ἀμπέλου, λαβών, κε-
ράσας, εὐχαριστήσας, ἁγιάσας·
Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀ-
ποστόλοις εἰπών· πίετε ἐξ αὐτοῦ
πάντες· τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς
καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πο-
λλῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρ-
τιῶν· Ὁ ἱερεὺς ἐπεύχεται·
Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνά-
μνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν
ἄρτον τοῦτον· καὶ τὸ ποτήριον τοῦτο πί-
νητε, τὸν ἐμὸν θάνατον καταγγέλλε-
τε· τὴν ἐμὴν ἀνάστασιν ὁμολογεῖ-
τε· μεμνημένοι οὖν δέσποτα καὶ ἡμεῖς
τῶν σωτηρίων αὐτοῦ παθημάτων τοῦ ζωο

ποιοῦ σταυροῦ· τῆς τριημέρου ταφῆς·
τῆς ἐκ νεκρῶν ἀναστάσεως· τῆς εἰς
οὐρανοὺς ἀνόδου· τῆς ἐκ δεξιῶν σοῦ τοῦ
θεοῦ καὶ πατρὸς καθέδρας· καὶ τῆς ἐνδόξου καὶ
φοβερᾶς δευτέρας αὐτοῦ παρουσίας:–

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες·
κατὰ πάντα καὶ διὰ πάντα.
Ὁ ἱερεὺς ἐπεύχεται

Διὰ τοῦτο δέσποτα πανάγιε, καὶ ἡ-
μεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι
δοῦλοί σου· οἱ καταξιωθέν-
τες λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστη-
ρίῳ· οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν· οὐ
γὰρ ἐποιήσαμέν τι ἀγαθὸν ἐπὶ τῆς γῆς·
ἀλλὰ διὰ τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς
σου· οὓς ἐξέχεας πλουσίως ἐφ' ἡμᾶς·
θαρροῦντες προσεγγίζομεν τῷ ἁγίῳ σου
θυσιαστηρίῳ· καὶ προθέντες τὰ ἀντί-
τυπα τοῦ ἁγίου σώματος καὶ αἵματος
τοῦ χριστοῦ σου· σοῦ δεόμεθα καὶ σὲ πα-
ρακαλοῦμεν ἅγιε ἁγίων· εὐδοκίᾳ τῆς σῆς

ἀγαθότητος· ἐλθεῖν τὸ πνεῦμά σου
τὸ ἅγιον ἐφ' ἡμᾶς· καὶ ἐπὶ τὰ προκεί-
μενα δῶρα ταῦτα· καὶ εὐλογῆσαι
αὐτά· καὶ ἁγιάσαι καὶ ἀναδεῖξαι:

Εἶτ(α) ἐπεύχεται ὁ ἱερεὺς· λέγων· Κ(ύρι)ε ὁ τὸ
πανάγιόν σου πν(εῦμ)α· καὶ ἀνιστώμενος σφρα-
γίζει· γ'· τὰ ἅγια λέγων· καὶ ποίησον:

Τὸν μὲν ἄρτον· τοῦτον αὐτὸ τὸ τίμιον
σῶμα τοῦ κυρίου καὶ θ(εο)ῦ καὶ σωτῆρος
ἡμῶν Ἰησοῦ Χριστοῦ:

Τὸ δὲ ποτήριον τοῦτο· αὐτὸ τὸ τίμιον
αἷμα τοῦ κυρίου καὶ θεοῦ καὶ σ(ωτῆ)ρ(ο)ς ἡμῶν
Ἰησοῦ Χριστοῦ· τὸ ἐκχυθὲν ὑπὲρ τῆς
τοῦ κόσμου ζωῆς:

Μεταβαλὼν τῷ πνεύματί σου· τῷ ἁγίῳ:
Ἀμὴν τρίς: ὁ ἱερεὺς ἐπεύχεται

Ἡμᾶς δὲ πάντας τοὺς ἐκ τοῦ ἑνὸς ἄρ-
του καὶ τοῦ ποτηρίου μετέχοντας·
ἑνώσαις ἀλλήλοις εἰς ἑνὸς πνεύ-
ματος ἁγίου κοινωνίαν· καὶ μηδένα
ἡμῶν εἰς κρίμα· ἢ εἰς κατάκριμα

ποιῆσαι μετασχεῖν τοῦ ἁγίου σώ
ματος καὶ αἵματος τοῦ Χριστοῦ σου·
ἀλλ᾽ ἵνα εὕρωμεν ἔλεον καὶ χάριν, με
τὰ πάντων τῶν ἁγίων· τῶν ἀπ᾽ αἰῶνος
εὐαρεστησάντων· προπατόρων·
πατέρων· πατριαρχῶν· προφη
τῶν· ἀποστόλων· διδασκάλων·
καὶ παντὸς πνεύματος δικαίου, ἐν
πίστει τετελειωμένου:

*Ἐξαιρέτως τῆς παναγίας ἀχράντου ὑπερ*
*ευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν*
*θεοτόκου καὶ ἀειπαρθένου Μαρίας:*

ὁ ἱερεὺς *ἐπεύχεται:-*

Τοῦ ἁγίου Ἰωάννου τοῦ προ
φήτου προδρόμου καὶ βαπτι
στοῦ· τῶν ἁγίων ἐνδόξων καὶ πα
νευφήμων ἀποστόλων· τοῦ
ἁγίου *τοῦ δεῖνα·* οὗ καὶ τὴν μνήμην
ἐπιτελοῦμεν· καὶ πάντων σου τῶν
ἁγίων· ὧν ταῖς ἱκεσίαις ἐπίσκε
ψαι ἡμᾶς ὁ Θεός· καὶ μνήσθητι πάντων

τῶμ κεκοιμημένωμ ἰπ' ἐλπίδι ἀναστά
σεως ζωῆς αἰωνίου· ὑπὲρ ἀναπαύ
σεως· καὶ ἀφέσεως ἁμαρτιῶμ τῆς ψυ
χῆς τοῦ δούλου σου· ἀρσενίου ἀρχι
ερέως· καὶ τῶμ γονέωμ αὐτοῦ Ἰω· καὶ πα
φνουτίας μοναχῆς· ἐμ τόπω φωτει
νῷ ἔνθα ἀπέδρα λύπη καὶ στεναγμός·
καὶ ἀνάπαυσομ αὐτούς· ὅπου ἐπι
σκοπεῖ τὸ φῶς τοῦ προσώπου σου·
ἔτι σοῦ δεόμεθα· μνήσθητι κύριε τῆς ἁγί
σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλη
σίας· τῆς ἀπὸ περάτων ἕως περάτων
τῆς οἰκουμένης· καὶ εἰρήνευσομ αὐ
τήμ· ἣν περιεποίησω τῷ τιμίῳ
αἵματι τοῦ χριστοῦ σου· καὶ τὸμ ἅγι
ομ οἶκομ τοῦτομ στερέωσομ μέχρι τῆς
συντελείας τοῦ αἰῶνος· μνήσθητι
κύριε τῶμ τὰ δῶρά σοι ταῦτα προ
σκομισάντωμ· καὶ ὑπὲρ ὧμ· καὶ
δι' οὓς αὐτὰ προσεκόμισαμ· μνή
σθητι κύριε τῶμ καρποφορούντωμ

ὧ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου
ἐκκλησίαις, καὶ μεμνημένων τῶν πε-
νήτων· ἄμειψαι αὐτούς, τοῖς πλουσί-
οις σου καὶ ἐπουρανίοις χαρίσμασι· χά-
ρισαι αὐτοῖς, ἀντὶ τῶν ἐπιγείων· τὰ
ἐπουράνια· ἀντὶ τῶν προσκαίρων·
αἰώνια· ἀντὶ τῶν φθαρτῶν· τὰ
ἄφθαρτα· μνήσθητι κύριε τῶν ἐν ἐρημί-
αις, καὶ ὄρεσι καὶ σπηλαίοις, καὶ ταῖς ὀ-
παῖς τῆς γῆς· μνήσθητι κύριε τῶν ἐν παρ-
θενίᾳ, καὶ εὐλαβείᾳ, καὶ ἀσκήσει, καὶ
σεμνῇ πολιτείᾳ διαγόντων· μνήσθη-
τι κύριε τῶν εὐσεβεστάτων καὶ πιστοτά-
των βασιλέων, οὓς ἐδικαίωσας βα-
σιλεύειν ἐπὶ τῆς γῆς· ὅπλῳ ἀληθείας,
ὅπλῳ εὐδοκίας· στεφάνωσον αὐτούς·
ἐπισκίασον ἐπὶ τὴν κεφαλὴν αὐτῶν.
ἐν ἡμέρᾳ πολέμου· ἐνίσχυσον αὐτῶν
τὸν βραχίονα· ὕψωσον αὐτῶν τὴν
δεξιάν· κράτυνον αὐτῶν τὴν βασιλεί-
αν· ὑπόταξον αὐτοῖς πάντα τὰ βάρβα-

ρα ἔθνη· τὰ τοὺς πολέμους θέλον-
ται· χάρισαι αὐτοῖς βαθεῖαν καὶ ἀνα-
φαίρετον ἰρήνην· λάλησον εἰς τὴν
καρδίαν αὐτῶν ἀγαθὰ· ὑπὲρ τῆς
ἐκκλησίας σου· καὶ παντὸς τοῦ
λαοῦ σου· ἵνα ἐν τῇ γαλήνῃ αὐ-
τῶν· ἤρεμον καὶ ἡσύχιον βίον διά-
γωμεν· ἐν πάσῃ εὐσεβείᾳ καὶ
σεμνότητι· μνήσθητι κύριε πάσης
ἀρχῆς καὶ ἐξουσίας· καὶ τῶν ἐν τῷ
παλατίῳ ἀδελφῶν ἡμῶν· καὶ παν-
τὸς τοῦ στρατοπέδου· τοὺς ἀγαθοὺς
ἐν τῇ ἀγαθότητί σου διατήρησον·
τοὺς πονηροὺς ἀγαθοὺς ποίησον· ἐν
τῇ χρηστότητί σου· μνήσθητι κύριε·
τοῦ περιεστῶτος λαοῦ καὶ τῶν δι᾽ εὐλό-
γους αἰτίας ἀπολειφθέντων· καὶ
ἰλέησον αὐτοὺς καὶ ἡμᾶς κατὰ τὸ
πλῆθος τοῦ ἰλέους σου· τὰ ταμεῖα
αὐτῶν· ἰμπλησον παντὸς ἀγαθοῦ·
τὰς συζυγίας αὐτῶν ἐν ἰρήνῃ καὶ ὁμο-

μοι διατήρησον· τὰ νήπια· ἔκθρε-
ψον· τὴν νεότητα· παιδαγώγη-
σον· τὸ γῆρας· περικράτησον·
τοὺς ὀλιγοψύχους· παραμύθησαι·
τοὺς ἐσκορπισμένους· ἐπισυνάγαγε·
καὶ συνάγαγε αὐτούς· τῇ ἁγίᾳ σου κα-
θολικῇ· καὶ ἀποστολικῇ ἐκκλησίᾳ·
τοὺς ὀχλουμένους ἀπὸ πνευμάτων
ἀκαθάρτων· ἐλευθέρωσον· τοῖς πλέ-
ουσι· σύμπλευσον· τοῖς ὁδοιπο-
ροῦσι· συνόδευσον· χηρῶν προστῆθι·
ὀρφανῶν· ὑπεράσπισαι· αἰχμα-
λώτους· ῥῦσαι· νοσοῦντας· ἴασαι·
τῶν ἐν βήμασι· καὶ μετάλλοις καὶ ἐξο-
ρίαις· καὶ πικραῖς δουλείαις· καὶ πάσῃ
θλίψει καὶ ἀνάγκῃ· καὶ περιστάσει ὄν-
των μνημόνευσον ὁ θεός· καὶ πάντων
τῶν δεομένων· τῆς μεγάλης σου εὐσπλα-
γχνίας· καὶ τῶν ἀγαπώντων ἡμᾶς· καὶ
τῶν μισούντων· καὶ τῶν ἐντειλαμένων
ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ

αὐτῶν· καὶ παντὸς τοῦ λαοῦ σου· μνή
σθητι κύριε ὁ θεὸς ἡμῶν· καὶ ἐπὶ πάντας
ἔκχεον τὸ πλούσιόν σου ἔλεος· πᾶ
σι παρέχων· τὰ πρὸς σωτηρίαν αἰ
τήματα· καὶ ὧν ἡμεῖς οὐκ ἐμνημο
νεύσαμεν· δι' ἄγνοιαν· ἢ λήθην ἢ πλῆ
θος ὀνομάτων· αὐτὸς μνημόνευσον
ὁ θεός· ὁ εἰδὼς ἑκάστου τὴν ἡλικίαν·
καὶ τὴν προσηγορίαν· ὁ εἰδὼς ἕκαστον
ἐκ κοιλίας μητρὸς αὐτοῦ· σὺ γὰρ εἶ
κύριε· ἡ βοήθεια τῶν ἀβοηθήτων· ἡ ἐλπὶς
τῶν ἀπηλπισμένων· ὁ τῶν χειμαζο
μένων σωτήρ· ὁ τῶν πλεόντων λι
μήν· ὁ τῶν νοσούντων ἰατρός· αὐτὸς
τοῖς πᾶσι τὰ πάντα γενοῦ· ὁ εἰ
δὼς ἕκαστον καὶ τὸ αἴτημα αὐτοῦ·
οἶκον, καὶ τὴν χρείαν αὐτοῦ· καὶ ῥῦσαι κύριε
τὴν πόλιν ταύτην· καὶ πᾶσαν πό
λιν καὶ χώραν· ἀπὸ λιμοῦ, λοιμοῦ·
σεισμοῦ· καταποντισμοῦ· πυρός·
μαχαίρας· ἐπιδρομῆς ἀλλοφύλων·

καὶ ἐμφυλίου πολέμου·

Ἐν πρώτοις μνήσθητι κύριε τοῦ ἀρχιεπι-
σκόπου ἡμῶν, ὁ δεῖνος· ὃν χάρισαι
ταῖς ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ,
σῶον, ἔντιμον, ὑγιᾶ, μακροημε-
ρεύοντα, ὀρθοτομοῦντα τὸν λόγον
τῆς σῆς ἀληθείας·

Ὁ ἱερεὺς ἐπεύχεται·

Μνήσθητι κύριε πάσης ἐπισκοπῆς
ὀρθοδόξων τῶν ὀρθοτομούν-
των τὸν λόγον τῆς σῆς ἀληθείας·
Μνήσθητι κύριε κατὰ τὸ πλῆθος
τῶν οἰκτιρμῶν σου, καὶ τῆς ἐμῆς ἀ-
ναξιότητος· συγχώρησόν μοι πᾶν
πλημμέλημα ἑκούσιόν τε καὶ ἀκού-
σιον, καὶ μὴ διὰ τὰς ἐμὰς ἁμαρτίας κω-
λύσῃς τὴν χάριν τοῦ ἁγίου πνεύμα-
τος, ἀπὸ τῶν προκειμένων δώρων·
Μνήσθητι κύριε τοῦ πρεσβυτερίου τῆς
ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερα-
τικοῦ τάγματος, καὶ μηδένα ἡμῶν

καταισχύνης · τῶν κυκλούντων τὸ ἅγιόν
σου θυσιαστήριον · ἐπίσκεψαι ἡμᾶς ἐν
τῇ χρηστότητί σου κε · ἐπιφάνηθι ἡμῖν
ἐν τοῖς πλουσίοις σου οἰκτιρμοῖς · εὐ-
κράτους καὶ ἐπωφελεῖς τοὺς ἀέρας ἡ-
μῖν χάρισαι · ὄμβρους εἰρηνικοὺς τῇ
γῇ πρὸς καρποφορίαν δώρησαι · εὐ-
λόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς
χρηστότητός σου · παῦσον τὰ σχίσμα-
τα τῶν ἐκκλησιῶν · σβέσον τὰ φρυ-
άγματα τῶν ἐθνῶν · τὰς τῶν αἱρέσε-
ων ἐπαναστάσεις · ταχέως κατά-
λυσον τῇ δυνάμει τοῦ ἁγίου σου πνεύ-
ματος · πάντας ἡμᾶς πρόσδεξαι
εἰς τὴν βασιλείαν σου · υἱοὺς φωτὸς
καὶ υἱοὺς ἡμέρας ἀναδείξας · τὴν σὴν εἰ-
ρήνην · καὶ τὴν σὴν ἀγάπην · χάρισαι ἡ-
μῖν κε ὁ θς ἡμῶν · πάντα γὰρ ἀπέ-
δωκας ἡμῖν :-

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ
καρδίᾳ · δοξάζειν καὶ ἀνυμνεῖν · τὸ πάν-

τιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ἡμῶν.

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ.

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων.

Ὅπως ὁ φιλάνθρωπος θεὸς ἡμῶν, ὁ προσδεξάμενος.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.

Ὁ ἱερεὺς ἐπεύχεται.

Θεὸς ἡμῶν ὁ θεὸς τοῦ σῴζειν, σὺ ἡμᾶς δίδαξον εὐχαριστεῖν ἀξίως ὑπὲρ τῶν εὐεργεσιῶν σου, ὧν ἐποίησας καὶ ποιεῖς. Σὺ ὁ θεὸς ἡμῶν, ὁ προσδεξάμενος τὰ δῶρα ταῦτα, καθάρισον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ δίδαξον ἐπιτελεῖν ἁγιωσύνην ἐν φόβῳ σου, ἵνα ἐν καθαρῷ

τῶν μυστηρίων τῆς ζωῆς ἃ δὴ τὸ ζῆν ἡμῶν·
ὑποδεχόμενοι τὴν μερίδα τῶν ἁγια-
σμάτων σου· ἑνωθῶμεν τῷ ἁγίῳ
σώματι καὶ αἵματι τοῦ Χριστοῦ σου· καὶ
ὑποδεξάμενοι αὐτὰ ἀξίως· σχῶ-
μεν τὸν Χριστὸν κατοικοῦντα ἐν ταῖς
καρδίαις ἡμῶν· καὶ γενώμεθα ναὸς
τοῦ ἁγίου σου πνεύματος· ναί· ὁ
Θεὸς ἡμῶν· καὶ μηδένα ἡμῶν ἔνοχον
ποιήσῃς τῶν φρικτῶν σου τούτων καὶ
ἐπουρανίων μυστηρίων· μηδὲ ἀσθενῆ ψυ-
χῇ καὶ σώματι· ἐκ τοῦ ἀναξίως
αὐτῶν μεταλαμβάνειν· ἀλλὰ δὸς
ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν ἀνα-
πνοῆς· ἀξίως ὑποδέχεσθαι τὴν
μερίδα τῶν ἁγιασμάτων σου· εἰς ἐ-
φόδιον ζωῆς αἰωνίου· εἰς ἀπολογί-
τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ σου, ὅπως ἂν καὶ ἡμεῖς ~~μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων~~
αν εὐπρόσδεκτον· μετὰ πάντων τῶν
ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστη-
σάντων· γενώμεθα μέτοχοι τῶν
αἰωνίων σου ἀγαθῶν· ὧν ἡτοί

μασας· τοῖς ἀγαπῶσί σε κύριε·
Ἀντιλαβοῦ σῶσον ἐλέησον·
Τὴν ἡμέραν πᾶσαν τελείαν ἁγίαν·
Ἄγγελον εἰρήνης· πιστὸν ὁδηγόν·
Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν·
Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς·
Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν·
Τὴν ἑνότητα τῆς πίστεως· καὶ τὴν κοι
νωνίαν τοῦ ἁγίου πνεύματος· αἰτησάμενοι
ἑαυτοὺς καὶ ἀλλήλους· καὶ πᾶσαν τὴν ζω
ὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα·
Καὶ καταξίωσον ἡμᾶς δέσποτα μετὰ
παρρησίας ἀκατακρίτως τολμᾶν ἐπικα
λεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν πατέρα καὶ λέγειν·
ὁ λαός· Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστιν ἡ βασι
Εἰρήνη πᾶσιν· Τὰς κεφαλὰς ὑμῶν·
ὁ ἱερεὺς εὔχεται·
Δέσποτα κύριε· ὁ πατὴρ τῶν οἰκτιρ
μῶν καὶ Θεὸς πάσης παρακλήσε
ως· τοὺς ὑποκεκληκότας σοι
τὰς ἑαυτῶν κεφαλάς· εὐλόγησον·

ἁγίασον· φρούρησον· ἐνδυνάμωσον·
ὀχύρωσον· ἀπὸ παντὸς ἔργου πο
νηροῦ ἀπόστησον· παντὶ δὲ ἔργῳ ἀγα
θῷ σύναψον· καὶ καταξίωσον ἀκα
τακρίτως μεταλαβεῖν τῶν ἀχράντων
σου τούτων καὶ ζωοποιῶν μυστηρίων·
εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς πνεύμα
τος ἁγίου κοινωνίαν·

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ
μονογενοῦς σου υἱοῦ· μεθ' οὗ εὐλογητὸς
εἶ· σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποι
ῷ σου πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων· ἀμήν·

ὁ ἱερεὺς ἐπεύχεται·

Πρόσχες κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν
ἐξ ἁγίου κατοικητηρίου σου,
καὶ ἀπὸ θρόνου δόξης τῆς βασι
λείας σου· καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς·
ὁ ἄνω τῷ πατρὶ συγκαθήμενος· καὶ
ὧδε ἡμῖν ἀοράτως συνών· καὶ κατα
ξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦ

μαι ἡμῖν τοῦ ἀχράντου σώματος καὶ
τοῦ τιμίου αἵματος· ἐν δὲ ἡμῶν παν
τὶ τῷ λαῷ: Προέλθωμεν· Ἱερεὺς ἀφ
ατοῖς ἁγίοις: Εὐχὴ τῆς μεταλήψεως
λεγομένη, ἐν τῷ ἀφελέσθαι ἀπὸ
τῆς ἱερᾶς ἀρθέντων τραπέζης
ἐν χιτῶνι ἱερέων:

Εὐχαριστοῦμέν σοι Κύριε ὁ Θεὸς ἡμῶν
ἐπὶ τῇ μεταλήψει τῶν ἁγίων
ἀχράντων· ἀθανάτων· καὶ
ἐπουρανίων σου μυστηρίων· ἃ ἔδωκας
ἡμῖν ἐπ' εὐεργεσίᾳ καὶ ἁγιασμῷ καὶ ἰάσει
τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν·
αὐτὸς δέσποτα τῶν ἁπάντων δὸς γε
νέσθαι ἡμῖν τὴν κοινωνίαν τοῦ ἁγίου
σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου.
εἰς πίστιν ἀκαταίσχυντον· εἰς ἀγάπην
ἀνυπόκριτον· εἰς πλησμονὴν σοφίας·
εἰς ἴασιν ψυχῆς καὶ σώματος· εἰς ἀπο
τροπήν· παντὸς ἐναντίου· εἰς πε
ριποίησιν· τῶν ἐντολῶν σου· εἰς

ἀπολογίαν πρὸ δεκτόν· τὴν ἐπὶ τοῦ
φοβεροῦ βήματος τοῦ χ(ριστο)ῦ σου:

Ὀρθοὶ μεταλαβόντες τῶν θείων ἁγίων ἀχράντων ἀθανάτων ἐπουρανίων καὶ ζωοποιῶν μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ κ(υρί)ῳ:

Ἀντιλαβοῦ σῶσον ἐλέησον:

Τὴν ἡμέραν πᾶσαν τελείαν ἁγίαν εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, χ(ριστ)ῷ τῷ θ(ε)ῷ παραθώμεθα:

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ π(ατ)ρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πν(εύματ)ι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων:

Ἐν εἰρήνῃ προέλθωμεν· Τοῦ κ(υρίο)υ δεηθῶμεν:

Εὐχὴ ὀπισθάμβωνος ἐκφωνουμένη παρὰ τοῦ ἱερέως::

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε κύριε· καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας· σῶσον τὸν λαόν σου· καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησίας σου· φύλαξον· ἁγίασον τοὺς

ἀγαπώντας τὴν εὐπρέπειαν τοῦ οἴ
κου σου· σὺ αὐτοὺς ἀντιδόξα
σον τῇ θεϊκῇ σου δυνάμει.
καὶ μὴ ἐγκαταλίπῃς ἡ
μᾶς τοὺς ἐλπίζον
τας ἐπὶ σέ· εἰρή
νην τῷ κόσμῳ
σου δώρη
σαι· ταῖς
ἐκκλησί
αις σου·
τοῖς ἱερεῦσι· τοῖς βασιλεῦσιν
ἡμῶν· τῷ στρατῷ· καὶ παντὶ τῷ λα
ῷ σου· ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ
πᾶν δώρημα τέλειον· ἄνωθέν
ἐστι καταβαῖνον ἐκ σοῦ τοῦ
πατρὸς τῶν φώτων· καὶ σοὶ
τὴν δόξαν καὶ εὐχαριστίαν· καὶ
προσκύνησιν· ἀνα
πέμπομεν· τῷ
πατρί· καὶ τῷ

σὺν τῷ ἁγίῳ πνεύματι· νῦν καὶ ἀεὶ
καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων

μ ~ μ

Εὐχὴ ἐν τῷ συστέλλεσθαι τὰ
ἅγια μυστικῶς

Ἤνυσται καὶ τετέλεσται· ὅσον
εἰς τὴν ἡμετέραν δύναμιν
Χριστὲ ὁ Θεὸς ἡμῶν· τὸ τῆς
σῆς οἰκονομίας μυστήριον·
ἔσχομεν γὰρ τοῦ θανάτου σου τὴν
μνήμην· εἴδομεν τῆς ἀναστάσεώς
σου τὸν τύπον· ἐνε-
πλήσθημεν· τῆς
ἀτελευτήτου
σου ζωῆς·
ἀπηλαύσαμεν τῆς ἀκενώτου σου
τρυφῆς· ἧς καὶ ἐν τῷ μέλλοντι αἰῶνι
πάντας ἡμᾶς καταξιωθῆναι εὐδόκη-
σον· χάριτι τοῦ ἀνάρχου σου πατρός· καὶ τοῦ ἁγίου
καὶ τοῦ ἀγαθοῦ καὶ ζωοποιοῦ πνεύματος· νῦν καὶ ἀεὶ
καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:-

† Ἡ θεία λειτουργία τῶν προηγιασμένων:

Εὐλογημένη ἡ βασιλεία τοῦ πατρὸς καὶ
τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος·
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν
αἰώνων:

Καὶ μετὰ τὸν προοιμιακὸν ψαλμόν·
ὁ διάκονος λέγει τὰ εἰρηνικά:

Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν
ψυχῶν ἡμῶν τοῦ κυρίου:

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐ-
σταθείας τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν:

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως,

εὐλαβείας καὶ φόβου Θ(εο)ῦ:

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν· τοῦ τιμίου πρεσβυτερίου τῆς ἐν Χ(ριστ)ῷ:

Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης πάσης πόλεως χώρας καὶ τῶν πιστῶν:

Ὑπὲρ εὐκρασίας ἀέρων· εὐφορίας τῶν καρπῶν τῆς γῆς:

Ὑπὲρ πλεόντων· ὁδοιπορούντων νοσούντων· καμνόντων:

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς· ἀπὸ πάσης θλίψεως ὀργῆς κ(αὶ) ἀνάγ(κης):

Ἀντιλαβοῦ σῶσον ἐλέησον:

Τῆς παναγίας ἀχράντου:

Μετὰ πάντων τῶν ἁγίων:

Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ προσκύνησις τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων: Εἶτα ἀναγινώσκωμεν τῶν ψαλμῶν· λέγει ὁ ἱερεὺς μυστικῶς τὰς εὐχάς:

εὐχὴ ἀντιφώνου α'.

Κύριε οἰκτίρμον καὶ ἐλεῆμον,
μακρόθυμε καὶ πολυέλεε.
ἐνώτισαι τὴν προσευχὴν
ἡμῶν· καὶ πρόσχες τῇ φωνῇ
τῆς δεήσεως ἡμῶν· ποίησον μεθ'
ἡμῶν σημεῖον εἰς ἀγαθόν· ὁ-
δήγησον ἡμᾶς ἐν τῇ ὁδῷ σου· τοῦ
πορεύεσθαι ἐν τῇ ἀληθείᾳ σου·
εὔφρανον τὰς καρδίας ἡμῶν· εἰς
τὸ φοβεῖσθαι τὸ ὄνομα τὸ ἅγιόν σου.
Διότι μέγας εἶ· καὶ ποιῶν θαυμά-
σια· σὺ εἶ Θεὸς μόνος· καὶ οὐκ ἔ-
στιν ὅμοιός σοι ἐν θεοῖς κύριε· δυνα-
τὸς ἐν ἐλέει· καὶ ἀγαθὸς ἐν ἰσχύϊ,
εἰς τὸ βοηθεῖν, καὶ παρακαλεῖν. καὶ
σώζειν πάντας τοὺς ἐλπίζοντας
εἰς τὸ ὄνομα τὸ ἅγιόν σου:-

Ἔτι καὶ ἔτι ... ἀντιλαβοῦ ... Τῆς παναγ(ίας)

Ὅτι σὸν τὸ κράτος· καὶ σοῦ ἐστιν· ἡ βασιλεία
καὶ ἡ δύναμις καὶ ἡ δόξα· τοῦ πατρὸς καὶ τοῦ υἱοῦ.

καὶ τοῦ ἁγίου πνεύματος· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας:·
ἀλληλούϊα τρίφωνον ϛ':

Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς· ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου· ἰατρὲ καὶ θεραπευτὰ τῶν ψυχῶν ἡμῶν· ὁδηγῶν ἡμᾶς τῷ λιμένι θελήματός σου· φώτισον τοὺς ὀφθαλμοὺς τῶν καρδιῶν ἡμῶν, εἰς ἐπίγνωσιν τῆς σῆς ἀληθείας· καὶ δώρησαι ἡμῖν τὸ λοιπὸν τῆς παρούσης ἡμέρας· εἰρηνικὸν καὶ ἀναμάρτητον, καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς παναγίας Θεοτόκου, καὶ πάντων τῶν ἁγίων σου:·

Ἔτι καὶ ἔτι· Ἀντιλαβοῦ· Τῆς παναγίας:·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι· νῦν καὶ ἀεί:·

καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων:
Εὐχὴ ἀντιφώνου γ'.

Κύριε ὁ θεὸς ἡμῶν· μὴ μνησθῇς ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου· ἐν τῷ ἐπικαλεῖσθαι ἡμᾶς τὸ ἅγιον καὶ προσκυνητὸν ὄνομά σου· καὶ μὴ καταισχύνῃς ἡμᾶς ἀπὸ τῆς προσδοκίας τοῦ ἐλέους σου· ἀλλὰ χάρισαι ἡμῖν ὁ θεός· πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα· καὶ ἀξίωσον ἡμᾶς ἀγαπᾶν καὶ φοβεῖσθαί σε· ἐξ ὅλης τῆς καρδίας ἡμῶν καὶ ποιεῖν ἐν πᾶσι τὸ θέλημά σου:

Ἔτι καὶ ἔτι. ἀντιλαβοῦ. τῆς παναγίας.

Ὅτι σὺ εἶ ὁ θεὸς ἡμῶν· θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν· τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι· νῦν καὶ ἀεί:·

Εὐχὴ τῆς εἰσόδου. λέγει μυστικῶς:

Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας. αἰνοῦμεν εὐλογοῦμεν. εὐχαριστοῦμεν· καὶ δεόμεθά σου δέ-

ἀπὸ τοῦ φιλανθρώπου πνεύματι· κατεύθυνον τὴν
προσευχὴν ἡμῶν· ὡς θυμίαμα ἐνώπιον
πιόν σου· καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας
ἡμῶν· εἰς λόγους πονηρίας· ἀλλὰ ῥῦ
σαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τὰς
ψυχὰς ἡμῶν· ὅτι πρὸς σέ κύριε, κύριε οἱ ὀφθαλ
μοὶ ἡμῶν· καὶ ἐπὶ σοὶ ἠλπίσαμεν· καὶ μὴ κα
ταισχύνῃς ἡμᾶς ὁ θεὸς ἡμῶν· ὅτι πρέ
πει σοι πᾶσα δόξα τιμὴ καὶ προσκύ
νησις· τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύ
ματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώ
νων· ἡ μετὰ τὴν συμπλήρωσιν τῆς
γενέσεως· ὁ ἱερεύς· Σοφία ὀρθοί·
φῶς Χριστοῦ φαίνει πᾶσιν· μετὰ τὸ κατευθυνθήτω·
Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς·
Κύριε παντοκράτορ ὁ θεὸς τῶν πατέρων ἡμῶν·
ἐλέησον ἡμᾶς ὁ θεὸς κτλ· ἡ μετὰ μνημόνευσιν κατὰ τὴν
τάξιν· εὐχὴ τῆς ἐκτενῆς·
Κύριε παντοκράτορ ὁ θεὸς ἡμῶν·
τὴν ἐκτενῆ ταύτην ἱκεσίαν
πρόσδεξαι παρὰ τῶν σῶν δούλων

λαόν· καὶ ἐλέησον ἡμᾶς, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς· καὶ ἐπὶ πάντα τὸν λαόν σου· τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος:

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας:

Εὔξασθε οἱ κατηχούμενοι τῷ Κυρίῳ:

Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν:

Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ:

Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας:

Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης:

Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ:

Σῶσον ἐλέησον ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτοὺς ὁ Θεὸς τῇ σῇ χάριτι:

Οἱ κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε:-

Εὐχὴ ὑπὲρ τῶν κατηχουμένων· λέγεται ὁ ἱερεὺς μυστικῶς:-

Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν· ὁ κτίστης καὶ δημιουργὸς τῶν ἁπάντων· ὁ πάντας θέλων σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους· καὶ λύτρωσαι αὐτοὺς τῆς παλαιᾶς πλάνης· καὶ τῆς μεθοδείας τοῦ ἀντικειμένου· καὶ προσκάλεσαι αὐτοὺς· εἰς τὴν ζωὴν τὴν αἰώνιον· φωτίζων αὐτῶν τὰς ψυχὰς καὶ τὰ σώματα· καὶ συγκαταριθμῶν αὐτοὺς· τῇ λογικῇ σου ποίμνῃ· ἐφ' οὓς τὸ ὄνομά σου τὸ ἅγιον ἐπικέκληται:-

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι· τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου· τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων:-

Ὅσοι κατηχούμενοι προέλθετε, οἱ κατηχούμενοι προέλθετε· ὅσοι κατηχούμενοι προέλθετε, μή τις τῶν κατηχουμέ

μων· ὅσοι πιστοί· ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου:

ἰστέον ὅτι ἀπὸ τῆς δ΄ τῆς μεσονηστίμου, μέχρι τῆς με
γάλης δ΄· προστίθεται ἐν τῇ λειτουργίᾳ τῶν προηγιασμένων, διακονι
κὰ τῶν διὰ τὸ φώτισμα κατηχουμένων, ἥ τε ἡ εὐχή, καὶ ἡ ἐκφώ
νησις ἀκολούθως πρὸ τὴν εὐχὴν ἐκφωνῆσαι· τὸ ἵνα καὶ
αὐτοί· ἄρξασθαι οὕτως:

Ὅσοι κατηχούμενοι, προέλθετε· οἱ κα
τηχούμενοι προέλθετε· ὅσοι πρὸς τὸ φώ
τισμα, προέλθετε· εὔξασθε οἱ πρὸς
τὸ φώτισμα, τοῦ κυρίου δεηθῶμεν:

Οἱ πιστοὶ ὑπὲρ τῶν πρὸς τὸ ἅγιον φώτισμα
εὐτρεπιζομένων ἀδελφῶν, καὶ τῆς σωτηρίας αὐτῶν τοῦ κυρίου:

Ὅπως κύριος ὁ θεὸς ἡμῶν στηρίξῃ αὐτοὺς ἐνδυνα
μώσῃ· τοῦ κυρίου:

Φωτίσῃ αὐτοὺς φωτισμῷ γνώσεως ἐν
ἀληθείας· τοῦ κυρίου:

Καταξιώσῃ αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ
λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέ
σεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς
ἀφθαρσίας, τοῦ κυρίου:

Ἀναγεννήσῃ αὐτοὺς δι' ὕδατος καὶ πνεύματος, τοῦ κυρίου:

Χαρίσαι δ' αὐτοῖς τὴν πληρότητα τῆς πίστεως τοῦ κυ:

Συγκαταρίθμησον αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καὶ ἐκλεκτῇ ποίμνῃ τοῦ κυ:

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον ἡμᾶς ὁ θς τῇ σῇ χάριτι:

Οἱ πρὸς τὸ φώτισμα τὰς κεφαλὰς ἡμῶν τῷ κῳ κλίνατε:- εὐχὴ ὑπὲρ τῶν πρὸς τὸ ἅγιον βάπτισμα εὐτρεπιζομένων· λέγομεν ἀπὸ τῆς δ. τῆς μεσονηστίμου·

Ἐπίφανον δέσποτα τὸ πρόσωπόν σου, ἐπὶ τοὺς πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένους, καὶ ποθοῦντας τὸν τῆς ἁμαρτίας μολυσμὸν ἀποτινάξασθαι· καταύγασον αὐτῶν τὴν διάνοιαν· βεβαίωσον αὐτοὺς ἐν τῇ πίστει· στήριξον ἐν ἐλπίδι· τελείωσον ἐν ἀγάπῃ· μέλη τίμια τοῦ χυ σου ἀνάδειξον, τοῦ δόντος ἑαυτὸν ἀντίλυτρον ὑπὲρ τῶν ψυχῶν ἡμῶν:-

Ὅτι σὺ εἶ ὁ φωτισμὸς ἡμῶν· καὶ σοὶ τὴν

δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ
τῷ ἁγίῳ πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων:-

Ὅσοι πρὸς τὸ φώτισμα· προέλθετε·
οἱ πρὸς τὸ φώτισμα προέλθετε· ὅσοι
κατηχούμενοι προέλθετε· μή τις τῶν
κατηχουμένων· ὅσοι πιστοί· ἔτι καὶ ἔτι ἐν
εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν:

Εὐχὴ πιστῶν α΄ μυστικῶς

Ὁ θεὸς ὁ μέγας καὶ αἰνετός· ὁ τῷ
ζωοποιῷ τοῦ Χριστοῦ σου
θανάτῳ εἰς ἀφθαρσίαν ἡ-
μᾶς ἐκ φθορᾶς μεταστήσας·
σὺ πάσας ἡμῶν τὰς αἰσθήσεις τῆς
ἐμπαθοῦς νεκρώσεως ἐλευθέρωσον·
ἀγαθὸν ταύταις ἡγεμόνα τὸν ἔνδοθεν
λογισμὸν ἐπιστήσας· καὶ ὁ ὀφθαλμὸς
μὲν ἀνεπίδεκτος ἔστω παντὸς πονη-
ροῦ βλέμματος· ἀκοὴ δὲ λόγοις ἀργοῖς
ἀνεπίβατος· ἡ γλῶσσα καθαρὰ
ἤτω ῥημάτων ἀπρεπῶν· ἁγίασον

ἡμῶν τὰ χείλη τὰ αἰνοῦντά σε· τὰς
χεῖρας ἡμῶν ποίησον· τῶν μὲν
φαύλων ἀπέχεσθαι πράξεων· ἐν μό-
νοις δὲ τοῖς ἀρεστοῖς σοι ἐνεργεῖν· πάν-
τα ἡμῶν τὰ μέλη καὶ τὴν διάνοιαν·
τῇ σῇ κατασφαλιζόμενος χάριτι:-
Ἀντιλαβοῦ σῶσον· Σοφία·

Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ
προσκύνησις τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ
ἁγίῳ πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας:

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ:

Εὐχὴ πιστῶν β´:

Δέσποτα ἅγιε ὑπεράγαθε·
δυσωποῦμέν σε τὸν ἐν
ἐλέει πλούσιον· ἵλεων
γενέσθαι ἡμῖν τοῖς ἁμαρτωλοῖς καὶ
ἀξίους ἡμᾶς ποιῆσαι τῆς ὑποδο-
χῆς τοῦ μονογενοῦς σου υἱοῦ καὶ θεοῦ
ἡμῶν· τοῦ βασιλέως τῆς δόξης·
ἰδοὺ γὰρ τὸ ἄχραντον αὐτοῦ· σῶ-
μα καὶ τὸ τίμιον αἷμα· κατὰ τὴν

παροῦσαν ὥραν εἰσπορευόμενα
τῇ μυστικῇ ταύτῃ προτίθεσθαι μέλλει
τραπέζῃ· ὑπὸ πλήθους στρατιᾶς
οὐρανίου ἀοράτως δορυφορούμενα·
ὧν τὴν μετάληψιν· ἀκατάκρι
τον ἡμῖν δώρησαι· ἵνα δι' αὐτῶν τὸ
τῆς διανοίας ὄμμα καταυγαζόμε
νοι· υἱοὶ φωτὸς καὶ ἡμέρας γενώμεθα:
Ἐμπλουτιζοῦ σῶν σον: Σοφία:
Κατὰ τὴν δωρεὰν τοῦ Χριστοῦ σου μεθ' οὗ εὐλο
γητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζω
οποιῷ σου πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰ
ῶνας τῶν αἰώνων: ἡ μετὰ τὴν ἔξοδον λέγε:
Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡ
μῶν τῷ κυρίῳ:
Ὑπὲρ τῶν προσκομισθέντων καὶ προαγι
ασθέντων τιμίων δώρων τοῦ κυρίου:
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς, ἀπὸ πά
σης θλίψεως:
Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν με
τὰ πίστεως καὶ εὐλαβείας:

Εὐχὴ μετὰ τὴν ἀπόθεσιν τῶν
ἁγίων δώρων·

Ὁ τῶν ἀρρήτων καὶ ἀθεάτων μυστηρίων
Θεός, παρ' ᾧ οἱ θησαυροὶ τῆς σο-
φίας καὶ τῆς γνώσεως ἀπό-
κρυφοι· ὁ τὴν διακονίαν τῆς λει-
τουργίας ταύτης ἀποκαλύψας ἡμῖν· καὶ
θέμενος ἡμᾶς τοὺς ἁμαρτωλοὺς διὰ τὴν
πολλήν σου φιλανθρωπίαν εἰς τὸ προσφέρειν
σοι δῶρά τε καὶ θυσίας· ὑπὲρ τῶν ἰδίων ἁ-
μαρτημάτων· καὶ τῶν τοῦ λαοῦ ἀγνοη-
μάτων· αὐτὸς ἀόρατε βασιλεῦ, ὁ ποι-
ῶν μεγάλα καὶ ἀνεξιχνίαστα· ἔνδο-
ξά τε καὶ ἐξαίσια· ὧν οὐκ ἔστιν ἀρι-
θμός· ἔπιδε ἐφ' ἡμᾶς τοὺς ἀναξίους δού-
λους σου· τοὺς τῷ ἁγίῳ σου τούτῳ θυσια-
στηρίῳ· ὡς τῷ χερουβικῷ σου παριστα-
μένοις θρόνῳ· ἐφ' ᾧ ὁ μονογενής σου
υἱὸς καὶ Θεὸς ἡμῶν· διὰ τῶν προκειμένων
φρικτῶν ἐπαναπαύεται μυστηρίων·
καὶ πάσης ἡμᾶς καὶ τὸν πιστόν σου λαὸν ἐ-

λευθερῶσαι ἀκαθαρσιῶν· ἁγίασον ἡμῶν
τὰς ψυχὰς καὶ τὰ σώματα· ἁγιασμῷ
ἀναφαιρέτῳ· ἵνα ἐν καθαρῷ συνει-
δότι· ἀνεπαισχύντῳ προσώπῳ·
πεφωτισμένῃ καρδίᾳ· τῶν θείων τού-
των μεταλαμβάνοντες ἁγιασμάτων·
καὶ ὑπ' αὐτῶν ζωοποιούμενοι ἑνω-
θῶμεν αὐτῷ τῷ Χριστῷ σου· τῷ ἀλη-
θινῷ Θεῷ ἡμῶν· τῷ εἰπόντι· ὁ τρώ-
γων μου τὴν σάρκα καὶ πίνων μου τὸ
αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ· ὅ-
πως ἐνοικοῦντος ἐν ἡμῖν καὶ ἐμπεριπα-
τοῦντος τοῦ λόγου σου κύριε· γενώμεθα
ναὸς τοῦ παναγίου καὶ προσκυνητοῦ σου
πνεύματος· λελυτρωμένοι πάσης
διαβολικῆς μεθοδείας ἐν πράξει· ἢ
λόγῳ· ἢ κατὰ διάνοιαν ἐνεργουμένης·
καὶ τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν
σὺν πᾶσι τοῖς ἁγίοις σου· τοῖς ἀπ' αἰῶνός
σοι εὐαρεστήσασιν:
Ἀντιλαβοῦ σῶσον ἐλέησον καὶ διαφύλα-

Τὴν ἑσπέραν πᾶσαν τελείαν ἁγίαν εἰρηνικὴν·
ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν·

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν·

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν·

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν·

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα·

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου πνεύματος, αἰτησάμενοι ἑαυτοὺς ἐν ἀλλήλοις·

Καὶ καταξίωσον ἡμᾶς δέσποτα, μετὰ παρρησίας ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαι τὸν ἐπουράνιον θεὸν πατέρα καὶ λέγειν·

Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία·
Εἰρήνη πᾶσιν. Τὰς κεφαλὰς ἡμῶν·
Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται·

Θεὸς ὁ μόνος ἀγαθὸς ὁ εὔσπλαγχνος, ὁ ἐν ὑψηλοῖς κατοικῶν· καὶ τὰ ταπεινὰ ἐφορῶν τῷ διασπλάγχνῳ ὄμματι. Ἐπὶ πάντα τὸν

λαόν σου· καὶ φύλαξον αὐτόν· καὶ ἀξίω
σον πάντας ἡμᾶς ἀκατακρίτως μετα
σχεῖν τῶν ζωοποιῶν σου τούτων μυστηρί
ων· σοὶ γὰρ τὰς ἑαυτῶν ὑπεκλίναμεν
κεφαλὰς ἀπεκδεχόμενοι τὸ παρὰ σοῦ
πλούσιον ἔλεος:

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ
μονογενοῦς σου υἱοῦ· μεθ' οὗ εὐλογητὸς
εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ
σου πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων:

Ὁ ἱερεὺς ἐπεύχεται:

Πρόσχες κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν
ἐξ ἁγίου κατοικητηρίου σου.
καὶ ἀπὸ θρόνου δόξης τῆς βα
σιλείας σου· καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι
ἡμᾶς· ὁ ἄνω τῷ πατρὶ συγκαθήμε
νος· καὶ ὧδε ἡμῖν ἀοράτως συνών·
καὶ καταξίωσον τῇ κραταιᾷ σου
χειρὶ· μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου
τοῦ σώματός σου· καὶ τοῦ τιμίου αἵ

ματος· ἐν δὲ ἡμῶν παντὶ τῷ λαῷ:·

Πρόσχωμεν Τὰ προηγιασμένα
ἅγια τοῖς ἁγίοις:· μετὰ τὴν
μετάληψιν· ἐπεύχεται ὁ ἱερεύς:·

Εὐχαριστοῦμέν σοι τῷ σωτῆ
ρι τῶν ὅλων Θεῷ ἐπὶ πᾶσιν
οἷς παρέσχου ἡμῖν ἀγαθοῖς· καὶ
ἐπὶ τῇ μεταλήψει τοῦ ἁγίου σώ
ματος· καὶ αἵματος τοῦ Χριστοῦ σου· καὶ
δεόμεθά σου δέσποτα φιλάνθρωπε·
φύλαξον ἡμᾶς ὑπὸ τὴν σκέπην
τῶν πτερύγων σου· καὶ δὸς ἡμῖν μέ
χρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς ἐ
παξίως μετέχειν τῶν ἁγιασμάτων
σου εἰς φωτισμὸν ψυχῆς καὶ σώμα
τος· εἰς βασιλείας οὐρανῶν κληρο
νομίαν:·

Ὀρθοὶ μεταλαβόντες τῶν θείων ἁγίων·
ἀχράντων· ἀθανάτων:
Ἀντιλαβοῦ σῶσον ἐλέησον:
Τὴν ἡμέραν πᾶσαν τελείαν ἁγίαν εἰρηνικήν:

Ὅτι σοῦ ἐστὶν ὁ ἁγιασμὸς ἡμῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων:

Ἐν εἰρήνῃ προέλθωμεν· Τοῦ κυρίου δεηθῶμεν

Εὐχὴ ὀπισθάμβωνος:

Δέσποτα παντοκράτορ ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας· ὁ διὰ τὴν ἄφατόν σου πρόνοιαν καὶ πολλὴν ἀγαθότητα, ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ἡμέρας ταύτας, πρὸς καθαρισμὸν ψυχῶν καὶ σωμάτων· πρὸς ἐγκράτειαν παθῶν· πρὸς ἐλπίδα ἀναστάσεως· ὁ διὰ τεσσαράκοντα ἡμερῶν, πλάκας χαρίσας τὰ θεοχάρακτα γράμματα, τῷ θεράποντί σου Μωσῇ· παράσχου καὶ ἡμῖν ἀγαθέ· τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσασθαι· τὸν δρόμον τῆς νηστείας ἐκτελέσαι· τὴν πίστιν ἀδι

αἴρετον τηρῆσαι· τὰς κεφαλὰς τῶν ἀ-
οράτων δὲ ἐχθρῶν συνθλάσαι· νική-
τὰς τῆς ἁμαρτίας ἀναφανῆναι· καὶ
ἀκατακρίτως φθάσαι, προσκυνῆσαι.
τὸ τίμιον καὶ ἅγιον ὄνομά σου· ὅτι εὐλόγη-
ται καὶ δεδόξασται τὸ πάντιμον καὶ με-
γαλοπρεπὲς ὄνομά σου· τοῦ πατρὸς καὶ
τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· νῦν καὶ ἀεὶ καὶ εἰς
τοὺς αἰῶνας τῶν αἰώνων:-

εὐχὴ ἑτέρα τῶν σὺν ἐλαίῳ ἁγίῳ

Κύριε ὁ θεὸς ἡμῶν· ὁ ἀγαγὼν ἡ-
μᾶς ἐπὶ τὰς πανσέπτους ἡμέ-
ρας ταύτας· κοινωνοὺς ἡμᾶς
ποιῆσαι· τῶν φρικτῶν σου
μυστηρίων· συνάγων ἡμᾶς τῇ λο-
γικῇ ποίμνῃ· καὶ κληρονόμους ἀνά-
δειξον τῆς βασιλείας σου·
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν
αἰώνων
ἀ- μήν:-

+ Τάξις γινομένη ἐπὶ χειρο- θεσίᾳ ἀναγνώστου,
καὶ ψάλτου. καὶ τῶν λοι- πῶν ὑποδιακό-
νου. δια- κόνου. ἱε- ρέως. καὶ ἀρχιερέως:

+ τοῦ ἀναγνώστου καὶ ψάλτου

Προσφερόμενος, τῷ ἀρχιερεῖ ὁ τοιοῦτος, ὀφείλει κοσμικὸς
εἶναι, μετὰ ἱματίου ἀσκεπής· εἰ δὲ μοναχός, μετὰ μονοκουκούλλου·
καὶ σφραγίζεται τρίτον τὴν κορυφὴν παρὰ τοῦ ἀρχιερέως· καὶ κεί-
ρεται παρ' αὐτοῦ σταυροειδῶς, λέγοντος· Εἰς τὸ ὄνομα τοῦ πατρὸς
καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, ἐπιφωνούντων καθ' ἑκάστην ἐπί-
κησιν τῶν συμπαρόντων, τὸ ἀμήν. εἶτα τὰ λέχεον ὑπό-
ζωνος, καὶ περικοῦ κάρελα σχῆμα· καὶ οὕτω προσάγεται τῷ ἀρχι-
ερεῖ προσάγεται· καὶ αὐτὸς λαμβάνων φαιλόνιον, ἐνδύει
αὐτόν· καὶ τρίτον τὴν κορυφὴν σφραγίζων, ἐπιτίθησιν αὐτῷ
τὴν χεῖρα, καὶ εὔχεται οὕτως:

Κύριε ὁ θεὸς ὁ παντοκράτωρ, ἔκλε-
ξαι τὸν δοῦλόν σου τόνδε, καὶ ἁγία-
σον αὐτόν· καὶ δὸς αὐτῷ μετὰ
πάσης σοφίας καὶ συνέσεως, τῶν

θείων σου λογίων τὴν μελέτην καὶ τὴν ἀ-
νάγνωσιν ποιεῖσθαι· διαφυλάττων
αὐτὸν· ἐν ἀμέμπτῳ πολιτείᾳ·
ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ
τοῦ μονογενοῦς σου υἱοῦ· μεθ' οὗ εὐ-
λογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγα-
θῷ καὶ ζωοποιῷ σου πνεύματι·
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων·-

Καὶ μετὰ τὴν ἐκφώνησιν, δίδοται τῷ ἀναγνώστῃ βιβλίον, ἀ-
ποστολικόν, καὶ ὀλίγον ἀναγνώσκων, λαμβάνει παρὰ τοῦ ἀρχιερέ-
ως φελώνιον· εἰ δὲ τοῦ κλήρου ἐστί, λέγει ἀπὸ τοῦ κλήρου περιφερόμενον·
ἔστι δὲ ὅσοι καὶ πλείονες οἱ χειροτονούμενοι ἀναγνῶσται· χειροτο-
νοῦνται ὁμοῦ, καὶ λέγεται ἡ εὐχὴ πληθυντικῶς· ἰστέον δὲ ὅτι
ὅτε οὐκ ἔστι λειτουργία, ποιεῖ ὁ ἀρχιερεὺς εὐλογητόν, καὶ τὰ ἑξῆς·
βασιλεῦ οὐράνιε, τρισάγιον, παναγία τριάς, πάτερ ἡ-
μῶν, ὅτι σοῦ ἐστιν, καὶ τὸ ἀπολυτίκιον,
τῆς ἡμέρας· εἶτα γίνεται
ἡ ἀκολουθία, ὡς προ-
γράφη·-

+ Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ὑποδιακόνου:

Τοῦ ἀρχιερέως καθεζομένου ἐπὶ τῆς ὡραίας πύλης, πρὸ τοῦ ἄρξα-
σθαι τῆς λειτουργίας, προσάγεται τῷ ἀρχιερεῖ ὁ μέλλων χειροτο-
νεῖσθαι ὑποδιάκονος, ἔχων, κοσμικὸς ἐστί, μετὰ φαιλονίου.
ὁ δὲ μοναχός, μετὰ μανδύου. κελεύεται δὲ ὁ ἀρχιερεὺς ἀποδύ-
σασθαι, τοῦτον τὸ φαιλόνιον, ἢ τὸ μανδύον, καὶ ἐνδύσασθαι
στιχάριον, καὶ ζώσασθαι, κατέχοντα δὲ χερνιβόξεστον, καὶ
μανδύλιον. εἶτα σφραγίζων τρὶς τὴν αὐτοῦ κεφαλήν, καὶ ἐπιθεὶς
αὐτοῦ τὴν χεῖρα, τοῦ διακόνου λέγοντος, τοῦ κυρίου δεηθῶμεν,
λέγει ὁ ἀρχιερεὺς τὴν εὐχὴν ταύτην:

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τοῦ ἑνὸς καὶ τοῦ
αὐτοῦ ἁγίου πνεύματος, διαιρῶν ἑκάστῳ
ὧν ἐξελέξω τὰ χαρίσματα
ὁ τάγματα διάφορα τῇ ἐκκλησίᾳ
σου δωρησάμενος, καὶ βαθμοὺς λειτουρ-
γιῶν καταστησάμενος ἐν αὐτῇ, πρὸς ὑπη-
ρεσίαν τῶν ἁγίων σου καὶ ἀχράντων μυστη-
ρίων, ὁ τῇ σῇ ἀφράστῳ προγνώσει ~~πρὸς ὑπηρ ἐν~~ προορίσας καὶ

τὸν δοῦλόν σου ἄξιον εἶναι τοῦ ὑπηρετεῖν τῇ ἁγίᾳ σου ἐκκλησίᾳ. αὐτὸς δέσποτα ὁ καταγινώσκων αὐτὸν ἐν πᾶσι διαφύλαξον. καὶ δὸς αὐτῷ ἀγαπῆσαι εὐπρέπειαν οἴκου σου. παρεστάναι ταῖς θύραις τοῦ ναοῦ τοῦ ἁγίου σου, ἀνάπτειν λύχνον σκηνώματος δόξης σου. καὶ φύτευσον αὐτὸν ἐν τῇ ἁγίᾳ σου ἐκκλησίᾳ. ὡς ἐλαίαν κατάκαρπον, καρποφοροῦντα καρπὸν δικαιοσύνης. καὶ τέλειον ἀνάδειξον δοῦλόν σου, ἐν καιρῷ τῆς παρουσίας σου. τῆς τῶν εὐαρεστησάντων σοι ἀπολαῦσαι ἀμοιβῆς. ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα. τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων:

Καὶ μετὰ τὴν ἐκφώνησιν, δεχόμενος ὁ ἀρχιερεὺς τὸ ὠράριον, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ τοῦ χειροτονουμένου. Ὁμοίως δίδωσιν αὐτοῦ καὶ τὸ χερνιβόξεστον· ὁ δὲ λαβών, ἀπονίζεται τὴν χεῖρα αὐτοῦ, καὶ βαστάσας ὕδωρ εἰς τὰς χεῖρας αὐτοῦ καὶ νίπτε

ται· λέγων καὶ τό, ὅσοι πιστοί, δίς· καὶ οὕτω λαμβάνων τὸ ὠράριον,
ἀπερχόμενος ἵσταται ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ λέγει, τό,
τρισάγιον, παναγία τριάς· πάτερ ἡμῶν, τό, κύριε ἐλέησον, πιστεύω
εἰς ἕνα θεόν, ἄνες, ἄφες, συγχώρησον· καὶ ἔτι ὅπως δοξάζω ἀλλ τῷ
πατρὶ μυστικῶς· μετὰ δὲ τὴν μεγάλην εἴσοδον, ὅταν θυμιᾷ
ὁ διάκονος τὴν ἁγίαν τράπεζαν, πάλιν ἵσταται ὁ ἀρχιερεὺς
εἰς τὸ ἀκουμβίδιον, ὅπερ φέρει ὁ μέλλων χειροτονεῖσθαι· ἐσο
δεύει δὲ καὶ αὐτὸς εἰς τὴν μεγάλην εἴσοδον, παντὸς ἔξωθεν.
κρατῶν καὶ τὸ χερνιβόξεστον, καὶ λάβεις· καὶ μετὰ τὴν εἴσοδον, εἰ
σέρχονται ὅλοι εἰς τὸ ἅγιον βῆμα, εἰς τὸ
θυσιαστήριον, πλὴν αὐτὸς
μένει ἔξω ἑστὼς εἰς
τὸν συνήθη
τόπον·
οὕτω·
γίνε
ται
καὶ εἰ περ ἐστὶν οἱ χειροτονούμενοι πολλοί· τῆς εὐχῆς
παραλλασσομένης πρὸς τοὺς
πολλούς:-

† Τάξις γινομένη ἐπὶ χειροτονίᾳ διακόνου

Μετὰ τὸ ποιῆσαι τὸν ἀρχιερέα τὴν ἐκφώνησιν, τὸ καὶ ἔσται τὰ ἐλέη
τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν ἰυ̅ χυ̅ μετὰ πάντων ὑμῶν, ἐξελ
θόντες οἱ δύο διάκονοι ἔνδον τοῦ ἁγίου βήματος, λαμβάνουσι τὸν μέλλον
τα χειροτονηθῆναι διάκονον, ἔξωθεν τῆς σολέας. καὶ εἰσφέρου
σιν αὐτὸν εἰς τὸ ἅγιον βῆμα. καὶ κυκλοῦσι τὴν ἁγίαν τράπεζαν
τρίς. ψάλλοντες τὸ, ἅγιοι μάρτυρες. εἶτα προσερχό
μενος τῷ ἀρχιερεῖ. σφραγίζεται τρίς, τὴν κεφαλήν. καὶ κα
λύψας ἀποζώσαντα αὐτὸν τοῦτον. καὶ ἀρθέντος τὸ ὠμολύχιον, εἶ
τα ἐρείδει ὁ χειροτονούμενος τὸ μέτωπον αὐτοῦ τῇ ἁγίᾳ τρα
πέζῃ. καὶ κλίνει τὸ γόνυ τὸ δεξιόν. καὶ τοῦ ἀρχιδιακόνου ἐκφω
νήσαντος τό, πρόσχωμεν. ὁ ἀρχιερεὺς ἔχων ἐπικειμέ
νην τὴν χεῖρα τῇ κεφαλῇ τοῦ χειροτονουμένου, ἐκφωνεῖ· ἡ θεία
χάρις ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα, καὶ τὰ ἐλλεί
ποντα ἀναπληροῦσα, προχειρίζεται τὸν δεῖνα τὸν εὐλαβέ
στατον ὑποδιάκονον, εἰς διάκονον, εὐξώμεθα οὖν ὑπὲρ
αὐτοῦ, ἵνα ἔλθῃ ἐπ' αὐτόν, ἡ χάρις τοῦ παναγίου πνεύματος.
καὶ αὖθις τὸ κύριε ἐλέησον, τρίς. παρὰ τῶν ἐν τῷ βήματι, καὶ
τῶν ἐκτός. καὶ ὁ ἀρχιερεὺς σφραγίζει, τρίς. τὴν αὐτοῦ κε

φωνήν· καὶ τοῦ διακόνου ὁ ἀπόστολος· τοῦ [illegible]·
ὁ ἀρχιερεὺς ἔχων τὴν χεῖρα ἐπικειμένην
αὐτοῦ εὔχεται οὕτως·

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ προγνώ-
σει σου τὴν τοῦ ἁγίου σου
Πνεύματος χορηγίαν κα-
ταπέμπων ἐπὶ τοὺς ὁρισ-
θέντας ὑπὸ τῆς σῆς ἀνεξιχνιάστου
δυνάμεως λειτουργοὺς γενέσθαι, καὶ
ἐξυπηρετεῖσθαι τοῖς ἀχράντοις σου
μυστηρίοις· αὐτὸς Δέσποτα καὶ τοῦτον
ὃν εὐδόκησας προχειρισθῆναι παρ' ἐ-
μοῦ εἰς τὴν τῆς διακονίας λειτουργίαν,
ἐν πάσῃ σεμνότητι διατήρησον· ἔ-
χοντα τὸ μυστήριον τῆς πίστεως, ἐν κα-
θαρᾷ συνειδήσει· δώρησαι δὲ αὐτῷ
τὴν χάριν, ἣν ἐδωρήσω Στεφάνῳ τῷ
πρωτομάρτυρί σου· ὃν καὶ ἐκάλε-
σας πρῶτον εἰς τὸ ἔργον τῆς διακονί-
ας σου· καὶ καταξίωσον αὐτὸν κατὰ τὸ
σοὶ εὐάρεστον, οἰκονομῆσαι τὸν πρα-

τῆς σῆς ἀγαθότητος δεδωρημένον
αὐτῷ βαθμόν· οἱ γὰρ καλῶς διακο-
νήσαντες, βαθμὸν ἑαυτοῖς καλὸν
περιποιοῦνται· ἐν τέλειον ἀνάδειξον
δοῦλον σου· ὅτι σοῦ ἐστιν ἡ βασιλεία
καὶ ἡ δύναμις καὶ ἡ δόξα· τοῦ πατρὸς καὶ
τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· νῦν καὶ ἀεὶ
καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:

Καὶ μετὰ τὸ ἀμήν, λέγει ὁ ἀρχιδιάκονος, λαμπρᾷ φω-
νῇ, ὅσον ἀκούειν τοὺς συμπαρόντας διακόνους· καὶ
ἀποκρίνεσθαι· τὰ εἰρηνικὰ ταῦτα:-

Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν:

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας:

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου:

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν τοῦ
δεῖνος· ἱερωσύνης ἀντιλήψεως διαμο-
νῆς, εἰρήνης, ὑγείας, σωτηρίας αὐτοῦ· καὶ τοῦ
ἔργου τῶν χειρῶν αὐτοῦ· τοῦ κυρίου:

Ὑπὲρ τοῦ δούλου τοῦ θεοῦ τοῦ δεῖνος· τοῦ νῦν
προχειριζομένου διακόνου· καὶ τῆς σωτηρί-
ας αὐτοῦ· τοῦ κυρίου δεηθῶμεν:-

Ὅπως ὁ φιλάνθρωπος Θεός, ἄσπιλον ἀμώ
μητον αὐτῷ τὴν διακονίαν χαρί
σηται, τοῦ Κυρίου δεηθῶμεν:
Ὑπὲρ τῆς πόλεως ταύτης, πάσης πόλεως χώρας
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως
Ἀντιλαβοῦ σῶσον: καὶ τούτων ῥηθέντων
ὁ ἀρχιερεὺς ἔχων τὴν χεῖρα ἐπικειμένην, εὔχεται οὕτω

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ τῇ ἀφθάρ
τῳ σου φωνῇ τοῖς ἀποστόλοις
σου θεσπίσας τὸν τῆς διακονίας
νόμον, ὁ τὸν πρωτομάρτυρα Στέ
φανον τοιοῦτον ἀναδείξας, ὁ πρῶ
τον αὐτὸν κηρύξας τὸν τοῦ διακόνου πλη
ρώσαντα ἔργον, καθὼς γέγραπται ἐν
τῷ ἁγίῳ εὐαγγελίῳ σου, ὅστις θέλει
ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν δι
άκονος· σὺ Δέσποτα τῶν ἁπάντων,
καὶ τὸν δοῦλόν σου τοῦτον, ὃν κατη
ξίωσας τὴν τοῦ διακόνου ὑπεισελ
θεῖν λειτουργίαν, πλήρωσον πάσης πίστεως
καὶ ἀγάπης, καὶ δυνάμεως καὶ ἁγιασμοῦ.

τῇ ἐπιφοιτήσει τοῦ ἁγίου καὶ ζωοποιοῦ σου πνεύματος. οὐ γὰρ ἐν τῇ ἐπιθέσει τῶν ἐμῶν χειρῶν. ἀλλ' ἐν τῇ ἐπισκοπῇ τῶν πλουσίων σου οἰκτιρμῶν. δίδοται χάρις τοῖς ἀξίοις σου. ἵνα καὶ οὗτος. πάσης ἁμαρτίας ἐκτὸς γενόμενος. ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεώς σου. ἀμέμπτως σοι παραστῇ καὶ τὸν μισθὸν τὸν ἀδιάψευστον τῆς σῆς ἐπαγγελίας κομίσηται. σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν. καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι. νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων:

Καὶ μετὰ τὸ ἀμήν, περιτίθησι τὸ ὠράριον τῷ χειροτονηθέντι κατὰ τὸν ἀριστερὸν ὦμον, λέγων, Ἄξιος. Καὶ ψάλλεται συνήθως τρίτον τό, Ἄξιος παρὰ τῶν ἔνδον τοῦ βήματος, καὶ ἔξωθεν παρὰ τῶν ψαλτῶν. Εἶτα. ἐπιδίδωσιν αὐτῷ ὁ ἀρχιερεὺς ἅγιον ῥιπίδιον, λέγων ὁμοίως. Ἄξιος. Καὶ ἀσπάζονται αὐτὸν πάντες οἱ διάκονοι. Ὁ δὲ ῥιπίδιον λαβών, ἵσταται ἐν τῷ πλαγίῳ τῆς ἁγίας τραπέζης, ἀπὸ τοῦ δεξιοῦ μέρους, καὶ ῥιπίζει ἐπάνω τῶν ἁγίων. Καὶ ἕτερος διάκονος, ἵσταται ἔξω τοῦ βήματ

τος ἐν τῷ συνήθει τόπῳ· καὶ λέγει· πάντων τῶν ἁγίων μνη
μονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν· καὶ τὰ λοι
πά· εἰς δὲ τὸν τῆς μεταλήψεως καιρόν, πρῶτος τῶν ὅλων
ὁ χειροτονηθεὶς μετέχει τῶν θείων μυστηρίων· καὶ λέγει τὰ δια
κονικὰ εἰς τὸν τόπον αὐτῶν ἤγουν τό, ὀρθοὶ μεταλαβόντες·
ταῦτα δὲ γίνονται, ὅταν γίνηται χειροτονία τελεία· ἐπεὶ
δὲ καὶ ἐν ταῖς προηγιασμέναις γίνεται· ἰστέον ὅτι μετὰ τὸ
ἀποτεθῆναι τὰ προηγιασμένα ἅγια ἐπὶ τῆς ἁγίας τραπέζης, πρὶν ἐπι
πεῖν τὸν διάκονον· πληρώσωμεν τὴν δέησιν· προσάγεται
ὁ μέλλων χειροτονεῖσθαι· καὶ γίνεται ἡ τάξις τῆς χειροτονίας ὡς εἴρηται:

+ τάξις γινομένη ἐπὶ χειροτονία
πρεσβυτέρου

Μετὰ τὸ πληρωθῆναι τὸν χερουβικὸν ὕμνον, ἵσταται ἐν
τῇ σολέᾳ ὁ μέλλων χειροτονεῖσθαι· πρεσβύτερος· καὶ
ἐξερχόμενοι δύο διάκονοι, λαμβάνουσιν αὐτὸν ἐξ ἑκατέρου
μέρους, καὶ φέρουσιν αὐτόν, ἄχρι τῶν ἁγίων θυρῶν· ἐκεῖ δὲ
ἀπολύουσιν αὐτὸν οἱ διάκονοι, καὶ λαμβάνουσιν αὐτὸν δύο πρεσ
βύτεροι, ὁ πρῶτος καὶ ὁ δεύτερος· καὶ κυκλοῦσι τρὶς τὴν ἁγίαν

τράπεζαν· ψάλλοντες τοῦ λαοῦ, ἄξιοι ἀξιωθήτωσαν· ἵστανται δὲ

ὄπισθεν ψαλλόντων τοῦ λαοῦ, ἄξιοι ἀξιωθήτωσαν, κάθηνται ἔμπρο-

σθεν τῆς ἁγίας τραπέζης, ὁ ἀρχιερεὺς, εἰς θρόνιον· καὶ ἐκ πλαγίου

ὅσοι κυκλοῦσι γύρωθεν, ὅταν ἔρχονται ἔμπροσθεν τοῦ

ἀρχιερέως, ποιοῦσι μετάνοιαν· καὶ ὁ χειροτονούμενος ἀσπάζε-

ται τὸ γόνυ τοῦ ἀρχιερέως, ἐπάνω τοῦ ὠμοφορίου· Εἶτα

ἀνιστάμενος ὁ ἀρχιερεὺς, προσέρχεται αὐτῷ ὁ χειροτο-

νούμενος· καὶ σφραγίζεται τρίτον τὴν κεφαλὴν παρ' αὐτοῦ·

καὶ ἐρείσας τὸ μέτωπον τῇ ἁγίᾳ τραπέζῃ, κλίνει καὶ ἄμφω τὰ

γόνατα· καὶ ἐκφωνοῦντος τοῦ διακόνου, πρόσχωμεν· αὖ-

θις ἐκφωνεῖ ὁ ἀρχιερεὺς ἔχων καὶ τὴν δεξιὰν χεῖρα ἐπικειμέ-

νην αὐτοῦ τῇ κεφαλῇ· Ἡ θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θε-

ραπεύουσα, καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα, προχειρί-

ζεται, τὸν δεῖνα τὸν εὐλαβέστατον διάκονον, εἰς πρεσβύτε-

ρον, εὐξώμεθα οὖν ὑπὲρ αὐτοῦ, ἵνα ἔλθῃ ἐπ' αὐτὸν ἡ χάρις

τοῦ παναγίου πνεύματος· καὶ λέγουσι τὸ κύριε ἐλέησον τρίς·

οἱ ἐντὸς τοῦ βήματος, ὁμοίως καὶ οἱ ψάλται· Πάλιν

οὖν σφραγίσας αὐτὸν τρίς· καὶ τὴν χεῖρα ἔχων ἐπικει-

μένην, τοῦ διακόνου εἰπόντος· Τοῦ κυρίου δεη-

θῶμεν, λέγει ὁ ἀρχιερεὺς τὴν εὐχὴν ταύτην μυ-

στικῶς:·

Θ(εὸ)ς ὁ ἄναρχος καὶ ἀτελεύτητος. ὁ πάσης κτίσεως πρεσβύτατος ὑπάρχων. ὁ τῇ προσηγορίᾳ τοῦ πρεσβυτέρου τιμήσας. τοὺς ἐν τῷ βαθμῷ τούτῳ ἀξιωθέντας ἱερουργεῖν τὸν λόγον τῆς σῆς ἀληθείας. αὐτὸς δέσποτα τῶν ἁπάντων. καὶ τοῦτον ὃν εὐδόκησας. προχειρισθῆναι παρ' ἐμοῦ. ἐν ἀμέμπτῳ πολιτείᾳ καὶ ἀκλινεῖ τῇ πίστει. εὐδόκησον ὑποδέξασθαι τὴν μεγάλην ταύτην χάριν τοῦ ἁγίου σου πν(εύματο)ς. καὶ τέλειον ἀνάδειξον δοῦλον σου. ἐν πᾶσιν εὐαρεστοῦντά σοι. καὶ ἀξίως πολιτευόμενον. τῆς δωρηθείσης αὐτῷ ὑπὸ τῆς σῆς προγνωστικῆς δυνάμεως. μεγάλης ταύτης ἱερατικῆς τιμῆς. ὅτι σὸν τὸ κράτος. καὶ σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα. τοῦ π(ατ)ρ(ὸ)ς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πν(εύματο)ς. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων:

καὶ μετὰ τὴν ἐκφώνησιν, λέγει ὁ πρωτοπαπᾶς λεπτῇ φωνῇ

ὅσον ἀκουσθῆναι τοῖς συμπαρόντας, καὶ ἀποκρίνεσθαι τὰ διακονικὰ ταῦτα:

Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν:

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας:

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν τοῦ δεῖνος, ἱερωσύνης, ἀντιλήψεως, διαμονῆς, εἰρήνης, ὑγείας, σωτηρίας αὐτοῦ, καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ, τοῦ κυρίου δεηθῶμεν:

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ἄσπιλον καὶ ἀμώμητον αὐτῷ τὴν ἱερωσύνην χαρίσηται, τοῦ κυρίου δεηθῶμεν:

Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ τοῦ δεῖνος, τοῦ νῦν προχειριζομένου πρεσβυτέρου, καὶ τῆς σωτηρίας αὐτοῦ, τοῦ κυρίου δεηθῶμεν:

Ὑπὲρ τῆς πόλεως ταύτης, καὶ πάσης πόλεως καὶ χώρας:

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως:

Ἀντιλαβοῦ σῶσον: Τῆς παναγίας ἀχράντου:

ὁ δὲ ἀρχιερεὺς ἔχων τὴν χεῖρα ἐπικειμένην, εὔχεται οὕτως:

Ὁ Θεὸς ὁ μέγας ἐν δυνάμει, καὶ ἀνεξιχνίαστος ἐν συνέσει, ὁ θαυμαστὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων

αὐτὸς κ(ύρι)ε καὶ τοῦτον ὃν εὐδόκησας τὸν
τοῦ πρεσβυτέρου ὑπεισελθεῖν βαθμόν
πλήρωσον τῆς τοῦ ἁγίου σου πν(εύματο)ς δω-
ρεᾶς· ἵνα γένηται ἄξιος παρεστάναι·
ἀμέμπτως· τῷ θυσιαστηρίῳ σου· κη-
ρύσσειν τὸ εὐαγγέλιον τῆς βασιλείας σου·
ἱερουργεῖν τὸν λόγον τῆς ἀληθείας σου·
προσφέρειν σοι δῶρα καὶ θυσίας πνευ-
ματικάς· ἀνακαινίζειν τὸν λαόν σου·
διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας·
ὅπως καὶ αὐτὸς ὑπαντήσας ἐν τῇ δευ-
τέρᾳ ἐπιδημίᾳ τοῦ μεγάλου θεοῦ καὶ σ(ωτῆ)ρ(ο)ς
ἡμῶν Ἰ(ησο)ῦ Χ(ριστο)ῦ· τοῦ μονογενοῦς σου υἱοῦ δέ-
ξηται τὸν μισθὸν τῆς ἀγαθῆς οἰκονομίας
τοῦ οἰκείου τάγματος ἐν τῷ πλήθει τῆς ἀ-
γαθότητός σου· ὅτι ηὐλόγηται καὶ δε-
δόξασται τὸ πάντιμον καὶ μεγαλοπρε-
πὲς ὄνομά σου τοῦ π(ατ)ρ(ὸ)ς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγ(ίου) πν(εύματο)ς::

Καὶ μετὰ τὸ ἀμήν, ἀνίστησιν αὐτόν· καὶ φέρει τὸ ὄπισθεν τοῦ
ὠραρίου αὐτοῦ, ἐπὶ τὸ ἔμπροσθεν τοῦ δεξιοῦ μέρους λέγων ἄ-
ξιος· εἶτα ἐνδύων αὐτὸν τὸ φαιλόνιον ἐκφωνεῖ καὶ αὖθις τό.

Ἄξιος· καὶ ψάλλουσιν αὐτὸ οἱ τοῦ βήματος, καὶ οἱ ψάλται· καὶ οὕ-
τως ἀσπάζεται τὸν ἀρχιερέα, καὶ τοὺς πρεσβυτέρους, καὶ ἀ-
περχόμενος ἵσταται μετὰ τῶν πρεσβυτέρων ἀναγινώσκων
τὸ κοντάκιον· καὶ ὁ διάκονος ἵσταται εἰς τὸν συνήθη τόπον,
λέγων, τό· Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ κυρίῳ. Ὅτε δὲ
τελειωθῶσι τὰ ἅγια, καὶ μέλλει εἰπεῖν, ὥστε γενέσθαι τοῖς
μεταλαμβάνουσι· προσερχόμενος ὁ χειροτονηθείς, ἐπιδί-
δωσιν αὐτῷ ὁ ἀρχιερεὺς ὅλον τὸν ἅγιον ἄρτον, λέγων οὕτως· Λάβε
τὴν παρακαταθήκην ταύτην, καὶ φύλα-
ξον αὐτήν, ἕως τῆς παρουσίας τοῦ Κυρίου ἡ-
μῶν Ἰησοῦ Χριστοῦ· ὅτι παρ' αὐτοῦ μέλλεις ἀπαιτεῖ-
σθαι αὐτήν. Ὁ δὲ λαβών, ἀσπάζεται τὴν χεῖρα τοῦ
ἀρχιερέως καὶ μεθίσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ· τὰς
μὲν χεῖρας θεὶς ἐπάνω τῆς ἁγίας τραπέζης· κατέχων αὐ-
τὸν δὲ λέγων τό, Κύριε ἐλέησον· καὶ ἐλέησόν με ὁ θεός. Ὅτε δὲ
μέλλει εἰπεῖν τὰ ἅγια τοῖς ἁγίοις· τότε ὁ χειροτονη-
θείς, ἀποδίδωσι τὸν ἅγιον ἄρτον· καὶ παρὰ τοῦ ἀρ-
χιερέως μεταλαμβάνει πρῶτος τῶν ἄ-
λλων· καὶ λέγει καὶ τὴν ὀπι-
σθάμβωνον εὐχὴν
αὐτός:–

Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἐπισκόπου

Μετὰ τὴν τοῦ τρισαγίου συμπλήρωσιν, ἀνέρχεται ὁ ἀρχιερεὺς εἰς τὴν κρηπῖδα τὴν πρὸ τῆς ἁγίας τραπέζης· καὶ προσάγεται οὗτος παρὰ τῶν συμπαρόντων τριῶν ἀρχιερέων, ὁ χειροτονηθῆναι μέλλων, ἐκ τοῦ δεξιοῦ μέρους· ὁ δὲ χαρτοφύλαξ ἐκ τοῦ ἀριστεροῦ ἐπιδίδωσιν αὐτῷ τὸν χάρτην ἐν ᾧ γέγραπται, εἰ μὲν πατριάρχης ἐστὶν ὁ χειροτονῶν ταῦτα:-

Ψήφῳ καὶ δοκιμασίᾳ τῶν ἱερωτάτων μητροπολιτῶν καὶ ἀρχιεπισκόπων καὶ ἐπισκόπων. Εἰ δὲ μητροπολίτης, ταῦτα· Ψήφῳ καὶ δοκιμασίᾳ τῶν θεοφιλεστάτων ἐπισκόπων καὶ τῶν ὁσιωτάτων πρεσβυτέρων.

Ἡ θεία χάρις ἡ πάμτοτε τὰ ἀσθενῆ θεραπεύουσα, καὶ τὰ ἐλλείπομτα ἀναπληροῦσα, προχειρίζεται τὸμ δεῖνα τὸμ θεοφιλέστατομ πρεσβύτερομ· ἐπίσκοπομ·

τῆς θεοσώστου πόλεως· τῆς δεῖνα· ἀξιωθῆ
ναι οὖν ὑπὲρ αὐτοῦ, ἵνα ἔλθῃ ἐπ' αὐτὸν ἡ χά
ρις τοῦ παναγίου πνεύματος:- καὶ οἱ τοῦ βήματος, καὶ
ὁ λαός, τό, Κύριε ἐλέησον γ΄. ἐπιτιθεμένου τοίνυν τοῦ
τοιούτου χάρτου τῷ ἀρχιερεῖ, ὑπὸ τοῦ χαρτοφύλακος, ἢ
τοῦ ἀρχιδιακόνου λέγοντος, τό, πρόσχωμεν, ὁ ἀρχιερεὺς,
ἀναγινώσκει τὰ γεγραμμένα εἰς ἐπήκοον τῶν περιεστώ
των καὶ πάντες φωνοῦσι, τὸ Κύριε ἐλέησον, ὡς προδεδήλω
ται, ἀναπτύσσει τὸ εὐαγγέλιον, ὁ ἀρχιερεὺς, καὶ ἐπιτί
θησι τῇ κεφαλῇ, καὶ τῷ τραχήλῳ τοῦ χειροτονουμένου, συνε
φαπτομένων, καὶ τῶν ἄλλων ἀρχιερέων. εἶτα ποιῶν
σταυροὺς τρεῖς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ ἔχων ἐπι
κειμένην αὐτῷ τὴν χεῖρα εὔχεται οὕτως:-
Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ νομο
θετήσας ἡμῖν διὰ τοῦ πανευ
φήμου ἀποστόλου Παύλου βα
θμῶν καὶ ταγμάτων τάξιν εἰς τὸ ἐξυ
πηρετεῖσθαι καὶ λειτουργεῖν τοῖς ἀχράν
τοις σου μυστηρίοις ἐν τῷ ἁγίῳ σου θυσι
αστηρίῳ, πρῶτον ἀποστόλους, δεύτ
ερον προφήτας, τρίτον διδασκάλους·

αὐτὸς δέσποτα τῶν ἁπάντων· καὶ τοῦτον
τὸν ψηφισθέντα καὶ ἀξιωθέντα ὑπει-
σελθεῖν τὸν εὐαγγελικὸν ζυγὸν καὶ τὴν ἀρ-
χιερατικὴν ἀξίαν· διὰ τῆς χειρὸς ἐμοῦ
τοῦ ἁμαρτωλοῦ καὶ τῶν συμπαρόν-
των λειτουργῶν καὶ συνεπισκόπων·
τῇ ἐπιφοιτήσει καὶ δυνάμει καὶ χάριτι
τοῦ ἁγίου σου πνεύματος· ἐνίσχυσον ὡς ἐνί-
σχυσας τοὺς ἁγίους σου ἀποστόλους καὶ προ-
φήτας· ὡς ἔχρισας τοὺς βασιλεῖς· ὡς ἡ-
γίασας τοὺς ἀρχιερεῖς· καὶ ἀνεπίληπτον
αὐτοῦ τὴν ἀρχιερωσύνην ἀπόδειξον·
καὶ πάσῃ σεμνότητι κατακοσμῶν.
ἅγιον ἀνάδειξον· εἰς τὸ ἄξιον γενέσθαι,
τοῦ αἰτεῖν αὐτὸν τὰ πρὸς σωτηρίαν τοῦ
λαοῦ· καὶ ἐπακούειν σε αὐτοῦ· ὅτι ἡ-
γίασταί σου τὸ ὄνομα καὶ δεδόξασταί σου
ἡ βασιλεία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος:–

Καὶ μετὰ τὸ ἀμήν, λέγουσιν οἱ συγχειροτονοῦντες ἀρχιερεῖς
Εἶτα λέγει ἁπλῇ φωνῇ· ὅσον ἀκούειν τοὺς συνόντας ἀρχιερεῖς,
καὶ ἀποκρίνεσθαι τὰ διακονικὰ ταῦτα.

Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν:

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας:

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου:

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν τοῦ δεῖνος. ἱερωσύνης ἀντιλήψεως διαμονῆς. εἰρήνης. ὑγείας καὶ σωτηρίας αὐτοῦ. καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ. τοῦ κυρίου:

Ὑπὲρ τοῦ δούλου τοῦ θεοῦ. τοῦ δεῖνος. τοῦ νῦν προχειριζομένου ἐπισκόπου καὶ τῆς σωτηρίας αὐτοῦ τοῦ κυρίου:

Ὅπως ὁ φιλάνθρωπος θεὸς ἄσπιλον καὶ ἀμώμητον αὐτοῦ τὴν ἀρχιερωσύνην χαρίσηται τοῦ κυρίου:

Ὑπὲρ τῆς πόλεως ταύτης πάσης πόλεως. καὶ ὑπὲρ πάντων τῶν χρῃζόντων τῆς παρὰ τοῦ θεοῦ βοηθείας καὶ ἀντιλήψεως τοῦ κυρίου:

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης:

Ἀντιλαβοῦ σῶσον ἐλέησον:

Τῆς παναγίας ἀχράντου:

Καὶ τούτων λεγομένων, ὁ ἀρχιερεὺς ἔχων ὡσαύτως τὴν τοῦ χειροτονουμένου κορυφῇ τὴν χεῖρα ε

τι κειμένην, εὔχεται οὕτως:—

Κύριε ὁ Θεὸς ἡμῶν· ὁ διὰ τὸ μὴ δύνα-
σθαι τὴν ἀνθρώπου φύσιν τὴν
τῆς θεότητος ὑποστῆναι οὐσί-
αν· τῇ σῇ οἰκονομίᾳ ὁμοιο-
παθεῖς ἡμῖν διδασκάλους καταστήσας,
τὸν σὸν ἐπέχοντας θρόνον· εἰς τὸ ἀνα-
φέρειν σοι θυσίαν καὶ προσφορὰν ὑπὲρ
παντὸς τοῦ λαοῦ σου· σὺ Χριστὲ καὶ τοῦτον
τὸν ἀναδειχθέντα οἰκονόμον τῆς ἀρχι-
ερατικῆς χάριτος ποίησον γενέσθαι
μιμητὴν· σοῦ τοῦ ἀληθινοῦ ποιμένος
τιθέντα τὴν ψυχὴν αὐτοῦ· ὑπὲρ τῶν
προβάτων σου· ὁδηγὸν τυφλῶν· φῶς
τῶν ἐν σκότει· παιδευτὴν ἀφρόνων·
διδάσκαλον νηπίων· φωστῆρα ἐν κό-
σμῳ, ἵνα καταρτίσας τὰς ψυχὰς τὰς
ἐμπιστευθείσας αὐτῷ ἐπὶ τῆς παρούσης
ζωῆς παραστῇ τῷ βήματί σου ἀκα-
ταισχύντως· καὶ τὸν μέγαν μισθὸν λή-
ψηται· ὃν ἡτοίμασας τοῖς ἀθλήσασι

στην ὑπὲρ τοῦ κηρύγματος τοῦ εὐαγγελί-
ου σου· σὸν γὰρ ἐστὶν τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς
ὁ Θεὸς ἡμῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν:
καὶ μετὰ τὸ ἀμὴν αἴρει τὸ εὐαγγέλιον καὶ τίθησιν εἰς τὴν ἁγίαν
τράπεζαν· καὶ οὕτως ἐπιτίθησι τῷ χειροτονηθέντι
τὸ ὠμοφόριον, λέγων, ἄξιος. ὁμοίως καὶ ὁ κλῆρος τὸ αὐτό.
εἶτα τὸν χειροτονηθέντα ἀσπάζεται ὁ χειροτονήσας,
καὶ οἱ λοιποὶ ἐπίσκοποι. καὶ τῆς συνήθους ἀκολουθίας
τελουμένης, ἀνέρχονται εἰς τὸ σύνθρονον. καὶ καθεζόμε-
νος πρῶτος ὁ χειροτονηθείς, ἁρμοδίως εἰς τὸν ἀπόστολον.
καὶ πρῶτος τῶν ἄλλων τοῦ τιμίου σώματος, καὶ αἵματος
τοῦ Χριστοῦ μεταλαμβάνει αὐτὸς καὶ τῷ χειροτονήσαντι, καὶ τοῖς
λοιποῖς μεταδίδωσιν:-

ἡ παροῦσα λειτουργία, εἶναι τῆς ἁγίας παρασκευῆς
τῶν σπαίλων εἰς τὴν γιάση, καὶ ὁ ξενοῦ αὐτήν, ὅξω ἀπ'
τὸ βοτίλιμον τοῦ ἀφορισμοῦ καὶ τῆς ἱερωσύνης,
καὶ νὰ ἔχῃ καὶ τὴν ὀργὴν [illegible] ἀμήν:

ἡγούμενος:—

Sase zeci si sapte foi cu vignete cu tot si cu acoperite
Virg Draghicean

PDF Compressor Pro

**Liturghier**

Prima jumătate a secolului al XVII-lea, 21x30 cm., 67 f., scris în limba greacă cu cerneală neagră şi roşie, cu inițiale bogat ornate cu roşu, verde, auriu, albastru de inspirație bizantino-orientală, cu păsări şi motive ornamentale.
Legat în carton îmbrăcat în piele cu decorații ornamentale la colțuri şi medalion în centru.

Conținut:
f. 2 - f. 18 Sfînta Liturghie a Sf. Ioan Gură de Aur
f. 19 – f. 41 Sfînta Liturghie a Sf. Vasile cel Mare
f. 42 – f. 51v Liturghia Darurilor mai înainte sfințite
f. 52- f. 55v foi albe
f. 56 – f. 56 v. Rînduiala hirotesiei citețului şi cîntărețului
f. 57 – f. 58 Rînduiala hirotesiei ipodiaconului
f. 58 v – f. 61 Rînduiala hirotoniei diaconului
f. 61 – f. 63v - Rînduiala hirotoniei preotului
f. 64 – f. 66 Rînduiala hirotoniei arhiereului

Nu are colofon, frontispiciile nu sînt terminate, pe locul lăsat gol de copist au fost făcute completări stîngace, de altă mînă (f. 2, f. 42). Din analiza scrisului rezultă că aparține unui elev al şcolii de caligrafie a lui Luca al Buzăului fost Mitropolit al Țării Româneşti din 1603, probabil Antim din Ianina (vezi semnătura din inițialele ornate de la f. 13v şi f. 33v.), activ între 1634 şi 1644. Autor a numeroase manuscrise păstrate în diferite

PDF Compressor Pro

biblioteci şi colecții din lume, îndeosebi la Mănăstirea Meteore din Grecia, Antim din Ianina era ieromonah în Țara Românească şi lucra pentru Voevodul Matei Basarab.

Însemnări de proprietate:
f. 1: în limba greacă „1799, martie 6, ziua duminică, am scris eu, smeritul şi păcătosul, rob al lui Dumnezeu Ioan M."
în limba română: „S-a cumpărat de la anticar de Î. P. S. Iosif Naniescu cu preț de 150 lei şi mi s-a dat mie împreună cu Mineiele semnate de Î. P. S. Sa în 1895. Iaşi. Partenie [al] Dunării de Jos."

f. 66 v: în limba greacă: „Acest Liturghier este [a mănăstirii] Sfînta Paraschiva a sinaiților care se află în Iaşi şi cel care o va înstrăina pe ea să fie despărțit de Biserică şi să fie lăsat afară din Împărăție. Egumenul" (Mănăstirea Sf. Parascheva este atestată pentru prima dată la începutul secolul al XVII, ctitorie a vornicului Nestor Ureche, a fost închinată de Constantin Movilă domnul Modovei ca metoc al Mănăstirii Sf. Ecaterina din Sinai, este dărîmată în 1880 cînd pe locul ei s-au construit halele din Iaşi.)

Daniel Suceava